Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

S. Class. Gr. 16/1

= Teub. 91b/1

29220 e. 2

# EPICORUM GRAECORUM
# FRAGMENTA.

COLLEGIT DISPOSUIT COMMENTARIUM CRITICUM

ADIECIT

**GODOFREDUS KINKEL.**

VOL. I.

BIBLIOTHECA · BODLEIANA ·

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXVII.

292. g. 83.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

PATRI OPTIMO

S

## HOC VOLUMINE CONTINENTUR


Cyclus . . . . . . . . . . . . . . . . . . . . . . . 1
Carmina heroica Homero vulgo adscripta . . . . . . . . 59
Carmina minora. Margites. Cercopes . . . . . . . . . 63
Incertae sedis fragmenta . . . . . . . . . . . . . . 70
Alcmaeonis . . . . . . . . . . . . . . . . . . . . 76
Danais . . . . . . . . . . . . . . . . . . . . . . 78
Hesiodus . . . . . . . . . . . . . . . . . . . . . 78
Eumelus . . . . . . . . . . . . . . . . . . . . . 185
Cinaetho . . . . . . . . . . . . . . . . . . . . . 196
Carmen Naupactium . . . . . . . . . . . . . . . . 198
Asius . . . . . . . . . . . . . . . . . . . . . . 202
Chersias . . . . . . . . . . . . . . . . . . . . . 207
Hegesinus . . . . . . . . . . . . . . . . . . . . 208
Phoronis . . . . . . . . . . . . . . . . . . . . . 209
Heracleides . . . . . . . . . . . . . . . . . . . 212
Minyas . . . . . . . . . . . . . . . . . . . . . . 215
Theseides . . . . . . . . . . . . . . . . . . . . 217
Thesprotis . . . . . . . . . . . . . . . . . . . . 218
Musaeus . . . . . . . . . . . . . . . . . . . . . 218
Epimenides . . . . . . . . . . . . . . . . . . . . 230
Onomacritus . . . . . . . . . . . . . . . . . . . 238
Abaris . . . . . . . . . . . . . . . . . . . . . . 242
Aristeas . . . . . . . . . . . . . . . . . . . . . 243
Antimachus Teius . . . . . . . . . . . . . . . . . 247
Pisander Camirensis . . . . . . . . . . . . . . . . 248

Panyassis . . . . . . . . . . . . . . . . . . . . . . 253
Choerilus Samius . . . . . . . . . . . . . . . . . . . 265
Epilycus . . . . . . . . . . . . . . . . . . . . . . . 272
Melanippides . . . . . . . . . . . . . . . . . . . . . 272
Niceratus . . . . . . . . . . . . . . . . . . . . . . 272
Antiphon . . . . . . . . . . . . . . . . . . . . . . . 272
Antimachus Colophonius . . . . . . . . . . . . . . . 273
Choerilus Iasensis . . . . . . . . . . . . . . . . . . 308
Anyte . . . . . . . . . . . . . . . . . . . . . . . . 311

BIBLIOTHECA BODLEIANA

# CYCLUS.

Photii Bibl. 239 p. $318^b$ Bekker. Ἀνεγνώσθησαν ἐκ τῆς ΠΡΟΚΛΟΥ χρηστομαθείας γραμματικῆς ἐκλογαί. ἔστι δὲ τὸ βιβλίον εἰς δʹ διῃρημένον λόγους . . . . . . . . . (Ex libro I.) p. $319^a$, 17 sqq.: γεγόνασι δὲ τοῦ ἔπους ποιηταὶ κράτιστοι μὲν Ὅμηρος, Ἡσίοδος, Πείσανδρος, Πανύασις, Ἀντίμαχος. διέρχεται δὲ τούτων, ὡς οἷόν τε, καὶ γένος καὶ πατρίδας καί τινας ἐπὶ μέρους πράξεις. διαλαμβάνει δὲ καὶ περὶ τοῦ λεγομένου ἐπικοῦ κύκλου, ὃς ἄρχεται μὲν ἐκ τῆς Οὐρανοῦ καὶ Γῆς μυθολογουμένης μίξεως, ἐξ ἧς αὐτοὶ[1]) καὶ τρεῖς παῖδας ἑκατοντάχειρας καὶ τρεῖς γεννῶσι Κύκλωπας· διαπορεύεται δὲ τά τε ἄλλως περὶ θεῶν τοῖς Ἕλλησι μυθολογούμενα, καὶ εἴ πού τι καὶ πρὸς ἱστορίαν ἐξαληθίζεται· καὶ περατοῦται ὁ ἐπικὸς κύκλος, ἐκ διαφόρων ποιητῶν συμπληρούμενος, μέχρι τῆς ἀποβάσεως Ὀδυσσέως τῆς εἰς Ἰθάκην, ἐν ᾗ καὶ ὑπὸ τοῦ παιδὸς Τηλεγόνου ἀγνοοῦντος κτείνεται. λέγει δὲ ὡς τοῦ ἐπικοῦ κύκλου τὰ ποιήματα διασώζεται καὶ σπουδάζεται τοῖς πολλοῖς οὐχ οὕτω διὰ τὴν ἀρετὴν ὡς διὰ τὴν ἀκολουθίαν τῶν ἐν αὐτῷ πραγμάτων. λέγει δὲ καὶ τὰ ὀνόματα καὶ τὰς πατρίδας τῶν πρα-

1) Sic Heyne; αὐτῷ codd.

γματευσαμένων τὸν ἐπικὸν κύκλον. λέγει δὲ καὶ περί τινων Κυπρίων ποιημάτων, καὶ ὡς οἱ μὲν ταῦτα εἰς Στασῖνον ἀναφέρουσι Κύπριον, οἱ δὲ Ἡγησῖνον[1]) τὸν Σαλαμίνιον αὐτοῖς ἐπιγράφουσιν, οἱ δὲ Ὅμηρον· δοῦναι δὲ ὑπὲρ τῆς θυγατρὸς Στασίνῳ, καὶ διὰ τὴν αὐτοῦ πατρίδα Κύπρια τὸν πόνον ἐπικληθῆναι. ἀλλ' οὐ τίθεται [ὁ συγγραφεὺς][2]) ταύτῃ τῇ αἰτίᾳ· μηδὲ γὰρ Κύπρια προπαροξυτόνως ἐπιγράφεσθαι τὰ ποιήματα.

Ex Photio hauriunt Etym. M. p. 327, 39 sqq. et Anonymus Byzantinus apud Cramer. Anecd. Gr. Oxon. III. p. 189. Cf. Schol. Basilii in Gregor. Naz. ap. Gaisf. in Suid. v. ἐγκύκλιον (A. Jahn in Mign. Patrol. Graec. XXXVI p. 914$^{c}$.).

Proclus in Chrestom. [Cod. Marc. 454 fol. 1$^{v}$]: *Γέγραφε δὲ* (Homerus) *ποιήσεις δύο, Ἰλιάδα καὶ Ὀδύσσειαν, ἣν Ξένων καὶ Ἑλλάνικος ἀφαιροῦνται αὐτοῦ. οἱ μέντοι γε ἀρχαῖοι καὶ τὸν κύκλον ἀναφέρουσιν εἰς αὐτόν. προστιθέασι δὲ αὐτῷ καὶ παίγνιά τινα, Μαργίτην, βατραχομαχίαν*[3]) *ἢ μυομαχίαν*[4]), *ἑπτάπεκτον αἶγα*[5]), *Κέρκωπας καινούς*[6]).

Suid. v. Ὅμηρος [II, 1 p. 1096 Bernh.]: *Ἀναφέρεται δὲ εἰς αὐτὸν καὶ ἄλλα τινὰ ποιήματα· Ἀμαζονία, Ἰλιὰς μικρά, Νόστοι, Ἐπικιχλίδες, Ἠθιέπακτος, ἤτοι Ἴαμβοι, Μυοβατραχομαχία, Ἀραχνομαχία, Γερανομαχία, Κεραμίς, Ἀμφιαράου ἐξέλασις, Παίγνια, Οἰχαλίας ἅλωσις, Ἐπιθαλάμια, Κύκλος, Ὕμνοι, Κύπρια.*

---

1) Sic codd. *Ah* ap. Bekk. (*A* = Marc. 450, *h* = Harl. 3592); Ἡγήσιον vulg.; Ἡγησίαν Sylb. ex Athenaeo XV p. 682 E. 2) ὁ συγγραφεὺς om. *A*. 3) βατραχομυομαχίαν Dind. (Schol. ad Il.) cum Allatio. 4) μυοβατραχομαχίαν Dind. 5) ἐντεπάκτιον· αἶγα cod., correxit Allatius, nisi quod Hesychii glossa deceptus ἑπταπέκτιον scripsit. 6) καινούς Dind. pro κενούς.

Proclus *Γένος Ἡσιόδου* (Gaisford Poetae minn. Grr. II p. 7 [8 Lips.]): *συνεγράψατο δὲ ὁ τοιοῦτος Ἡσίοδος βίβλους ἑκκαίδεκα, Ὅμηρος δὲ ὁ παλαιὸς ιγ'.*

Joh. Philoponus ad Aristot. de Sophist. elench. I. 10. 2 (locum inspicere non licuit): *ἔστι δὲ καὶ ἄλλο τι Κύκλος ἰδίως ὀνομαζόμενον, ὃ ποίημα τινὲς μὲν εἰς ἑτέρους, τινὲς δὲ εἰς Ὅμηρον ἀναφέρουσιν.*

Clem. Alex. Strom. I p. 144 Sylb. 398 Pott. *Καὶ ταῦτα μὲν προήχθημεν εἰπεῖν, ὅτι μάλιστα ἐν τοῖς πάνυ παλαιοῖς τοὺς τοῦ κύκλου ποιητὰς τιθέασιν.*

Schol. ad Clem. Alex. Protr. II, 30. p. 26 Pott. (Vol. IV p. 104 Klotz.) *Κύπρια ποιήματά εἰσι τὰ τοῦ κύκλου· περιέχει δὲ ἁρπαγὴν Ἑλένης· ὁ δὲ ποιητὴς αὐτῶν ἄδηλος· εἷς γάρ ἐστι τῶν κυκλικῶν· κυκλικοὶ δὲ καλοῦνται ποιηταὶ οἱ τὰ κύκλῳ τῆς Ἰλιάδος ἢ τὰ πρῶτα ἢ τὰ μεταγενέστερα ἐξ αὐτῶν τῶν Ὁμηρικῶν συγγράψαντες.*

Athen. VII p. 277 E: *Ἔχαιρε δ' ὁ Σοφοκλῆς τῷ ἐπικῷ κύκλῳ, ὡς καὶ ὅλα δράματα ποιῆσαι κατακολουθῶν τῇ ἐν τούτῳ μυθοποιίᾳ.*

Tabula quae vocatur Iliaca [Corpus Inscr. Gr. 6125 = Millin Gal. myth. Tab. CL = Müller de cyclo Graecorum epico, tab. = O. Jahn in libro qui inscribitur „Griechische Bilderchroniken" Tab. I.] *Ἰλίου πέρσις κατὰ Στησίχορον. Ἰλιὰς κατὰ Ὅμηρον. Αἰθιοπὶς κατὰ Ἀρκτῖνον τὸν Μιλήσιον. Ἰλιὰς ἡ μικρὰ λεγομένη κατὰ Λέσχην Πυρραῖον.*

Tabula ap. Jahn. l. l. Tab. II, B. (cf. p. 4.) *Ἰλιάδα καὶ Ὀ]δύσσειαν ῥαψῳδιῶν μή. Ἰλίου πέρσ[ιν ....*

Fragmentum tabulae olim musei Borgiani (nunc Neapolit.) ap. Heeren. Biblioth. litteraturae artisque

veterum fasc. IV. (Gott. 1788) Corp. Inscr. Gr. 6129. Jahn. l. l. Tab. VI. $K^2$. cf. p. 76 sq.

| | |
|---|---|
| | [Ἀθηνᾶς δὲ φευγούσης τὸν][1] |
| . . . θαρ | Ἥφαιστον καὶ μὴ προσδ[εξα][1] |
| . . . νου | μένης τὸ λέχος, τῆς γον[ῆ]ς |
| . . . τατω | ἐπὶ τὴν γῆν πεσούσης ⟨ἐπὶ |
| . . . νονεν<br>. . . ανον | τ̄ῆν̄⟩ γεννᾶται ὁ Ἐριχχόνιος. |
| . . . ωραυπε | πρὸ τῆς ἔριδος Ἀθηνᾶς πρὸς |
| . . . ετερο<br>. . . νδεμ | Ποσειδῶνα πρόκειται τάδε. |

. . . μαχίας, οὐχ ἣν Τέλεσις ὁ Μηθυμναῖος ὑ . . .
. . . ἔπεσιν καὶ Δαναΐδας ͵ςφ΄ ἐπῶν καὶ τὸν . . .
. . . ην Οἰδιπόδειαν τὴν ὑπὸ Κιναίθωνος τοῦ . . .
. . . πες ἐπῶν οὖσαν ͵ςχ΄ ὑποθήσομεν Θηβαΐδα . . .
. . . . . . . τὸν (?) Μιλήσιον λέγουσιν, ἐπῶν ὄντα ͵θφ΄ . . .
πμ͵δύ ταύτῃ δὲ . . .
ὸν . . υ . .[2] αον . . .

---

Subsidia: **Welcker** „Der epische Cyclus oder die Homerischen Dichter.“ 2 voll. Bonn. 1835. (1865.) 1849. (Fragmenta Cycli invenies Vol. II p. 495—560.) — **Müller** De cyclo Graecorum epico et poetis cyclicis scripsit eorum fragmenta collegit et interpretatus est C. G. M. Lips. 1829. — **Lange** „Ueber die kyklischen Dichter und den sogenannten epischen Kyklus der Griechen“ (Magont. 1837). — **Dübner** in Homeri ed. Parisiensi (Homeri carmina et cycli epici reliquiae Paris. 1837 editore Ambr. Firm. Didot). — **Düntzer** „Die Fragmente der epischen Poesie

---

1) Supplevit Welcker. Cycl. Ep. I. p. 35. 2) Litterae quibus *υ* includitur legi non possunt.

der Griechen bis zur Zeit Alexander's des Grossen" (Colon. 1840). Supplementum ed. 1841.

## THEOGONIA.

Theogonia primum tenuisse locum videtur. Cf. Phot. p. 319ª Bekk.: *διαλαμβάνει δὲ καὶ περὶ τοῦ λεγομένου ἐπικοῦ κύκλου, ὃς ἄρχεται μὲν ἐκ τῆς Οὐρανοῦ καὶ Γῆς μυθολογουμένης μίξεως, ἐξ ἧς αὐτοὶ καὶ τρεῖς παῖδας ἑκατοντάχειρας καὶ τρεῖς γεννῶσι Κύκλωπας*[1]) coll. Apollodor. I, 1, 1 sq. *Οὐρανὸς πρῶτος τοῦ παντὸς ἐδυνάστευσε κόσμου, γήμας δὲ Γῆν ἐτέκνωσε πρώτους τοὺς ἑκατόγχειρας προσαγορευθέντας, Βριάρεων Γύην Κόττον, οἳ μεγέθει τε ἀνυπέρβλητοι καὶ δυνάμει καθειστήκεσαν, χεῖρας μὲν ἀνὰ ἑκατὸν κεφαλὰς δὲ ἀνὰ πεντήκοντα ἔχοντες, μετὰ τούτους δὲ Κύκλωπας, Ἄργην Στερόπην Βρόντην, ὧν ἕκαστος εἶχεν ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου.* De Theogonia disceptaverunt Müller de cyclo p. 52 et Schubart in Ephem. litt. Hal. 1840. Vol. I p. 508, quibus adstipulor.

## [TITANOMACHIA.]

[Titanomachia utrum huc pertineat necne, quaeritur: cf. Müller p. 53 coll. Apollodor. I, 1. 2 *τεκνοῖ δὲ (Οὐρανὸς) αὖθις ἐκ Γῆς παῖδας μὲν τοὺς Τιτᾶνας προσαγορευθέντας.* Id. I, 2. 1. *ἐπειδὴ δὲ Ζεὺς ἐγένετο*

1) Welcker (Cycl. ep. II p. 556) versum latere arbitratus, coni. *τρεῖς Ἑκατόγχειρας καὶ τρεῖς γεννῶσι Κύκλωπας.*

*τέλειος, λαμβάνει Μῆτιν τὴν Ὠκεανοῦ συνεργόν, ἣ δίδωσι Κρόνῳ καταπιεῖν φάρμακον, ὑφ᾽ οὗ ἐκεῖνος ἀναγκασθεὶς πρῶτον μὲν ἐξεμεῖ τὸν λίθον, ἔπειτα τοὺς παῖδας οὓς κατέπιε· μεθ᾽ ὧν Ζεὺς πρὸς Κρόνον καὶ Τιτᾶνας ἐξήνεγκε πόλεμον. μαχομένων δὲ αὐτῶν ἐνιαυτοὺς δέκα, ἡ Γῆ τῷ Διὶ ἔχρησε τὴν νίκην, τοὺς καταταρταρωθέντας ἂν ἔχῃ συμμάχους· ὁ δὲ τὴν φρουροῦσαν αὐτῶν τὰ δεσμὰ Κάμπην ἀποκτείνας ἔλυσε. καὶ Κύκλωπες τότε Διὶ μὲν διδόασι βροντὴν καὶ ἀστραπὴν καὶ κεραυνόν, Πλούτωνι δὲ κυνῆν, Ποσειδῶνι δὲ τρίαιναν· οἱ δὲ τούτοις ὁπλισθέντες κρατοῦσι Τιτάνων, καὶ καθείρξαντες αὐτοὺς ἐν τῷ Ταρτάρῳ τοὺς ἑκατόγχειρας καθίστασαν φύλακας.*

---

Eumelo tribuitur Titanomachia a Schol. Apoll.; Eumelo vel Arctino ab Athenaeo. Apud alios ὁ *τὴν Τιτανομαχίαν γράψας* invenitur, ita ut appareat de auctore iam veteres dubitasse.

1.

Homer. Epimerism. in Cramer. Anecd. Oxon. I. p. 75: *Αἰθέρος δ᾽ υἱὸς Οὐρανός*, ὡς ὁ *τὴν Τιτανομαχίαν γράψας*.

2.

Schol. Laur. ad Apoll. Rhod. I, 1165: *Εὔμηλος δὲ ἐν τῇ Τιτανομαχίᾳ τὸν Αἰγαίωνα Γῆς καὶ Πόντου φησὶ παῖδα, κατοικοῦντα δὲ ἐν τῇ θαλάσσῃ τοῖς Τιτᾶσι συμμαχεῖν.* Ex hoc loco hausit Eudocia p. 29, 4 sqq.; cf. eandem p. 91, 20 sqq. *Βριάρεως — κατὰ Εὔμηλον*

*Γῆς καὶ Πόντου. οὗτος καὶ Κόττος ἑκατὸν χεῖρας ἐσχηκότες, μετὰ τῶν Θεῶν ἐπολέμησαν πρὸς τοὺς Γίγαντας.*[1]) (Cf. ad Fragm. 7.)

3.

Schol. Ven. *B* ad Hom. Il. *Ψ* 295: *Καὶ ὁ τὴν Τιτανομαχίαν δὲ γράψας δύο ἄρρενάς φησιν Ἡλίου καὶ δύο θηλείας [ἵππους εἶναι]*[2]). Hygin. Fab. 183: Equorum Solis et Horarum nomina. Eous[3]), per hunc caelum verti solet: Aethiops, quasi flammeus est, concoquit fruges. Hi funales sunt mares: feminae iugariae[4]), Bronte, quae nos tonitrua adpellamus, Sterope, quae fulgitrua. Huic rei auctor est Eumelus Corinthius.

4.

*Ἐν δ' αὐτῇ πλωτοὶ χρυσώπιδες ἰχθύες ἐλλοὶ*
*νήχοντες παίζουσι δι' ὕδατος ἀμβροσίοιο.*

Athen. VII p. 277 D: (*ἐγὼ δὲ*) .... *οἶδα ὅτι ὁ τὴν Τιτανομαχίαν ποιήσας, εἴτ' Εὔμηλός ἐστιν ὁ Κορίνθιος ἢ Ἀρκτῖνος ἢ ὅστις δήποτε χαίρει ὀνομαζόμενος, ἐν τῷ δευτέρῳ οὕτως εἴρηκεν „ἐν — ἀμβροσίοιο"*.

---

1) Versum corruptum, quem affert Schol. ad Pind. Nem. III, 38 (*Αἱ δὲ Ἡρακλεῖαι στῆλαι καὶ Βριάρεω λέγονται εἶναι, καθό φησι* [hic nomen auctoris excidit]) *στῆλαι τὴν Αἰγαίωνος ἁλὸς μεδέοντι Γίγαντος* Titanomachiae vindicandum esse censent Voss et Weichert; alii Euphorionis esse putant. *στῆλαί τ' Αἰγ.* propos. Boeckh, *στήσαντ' Αἰγαίωνι ἁλὸς μεδέοντι, Γίγαντες* Voss. — Fort. *στῆλαί τ' Αἰγαίωνος ἁλὸς μεδέοντος ἄνακτος.* — 2) *ὕπαιν* .... cod. — 3) Legebatur Eos; corr. Micyll. — 4) Legebatur locarie; corr. Salmas. ad Sol. p. 192 D.

Fragm. IV. *παίζοντες νήχοντο* Bergk de reliquiis com. att. p. 257 coll. Hes. Scut. 209.

5.

*Μέσσοισιν δ' ὠρχεῖτο πατὴρ ἀνδρῶν τε θεῶν τε.*

Athen. I p. 22 C: *Εὔμηλος δὲ ὁ Κορίνθιος ἢ Ἀρκτῖνος τὸν Δία ὀρχούμενόν που παράγει λέγων „Μέσσοισιν — θεῶν τε".*

6.

*Εἴς τε δικαιοσύνην θνητῶν γένος ἤγαγε δείξας*
*ὅρκους καὶ θυσίας ἱερὰς καὶ σχήματ' Ὀλύμπου.*

Clem. Alex. Strom. I p. 132 Sylb. p, 360 sq. Pott. *Ὁ δὲ Βηρύττιος Ἕρμιππος Χείρωνα τὸν Κένταυρον σοφὸν καλεῖ, ἐφ' οὗ καὶ ὁ τὴν Τιτανομαχίαν γράψας φησὶν ὡς πρῶτος οὗτος „εἰς — Ὀλύμπου".*

7.

Schol. Laur. ad Apoll. Rhod. I, 554: *Ὁ δὲ τὴν Γιγαντομαχίαν ποιήσας φησὶν ὅτι Κρόνος μεταμορφωθεὶς εἰς ἵππον ἐμίγη Φιλύρᾳ τῇ Ὠκεανοῦ, διόπερ καὶ ἱπποκένταυρος ἐγεννήθη ὁ Χείρων. τούτου δὲ γυνὴ Χαρικλώ.*]

---

Quae carmina Titanomachiam exceperint, nescimus.

* * *

## [OEDIPODEA.]

[Quod de Titanomachia diximus, etiam in Oedipodeam valet. Laudatur in tabula Borgiaca; v. supra p. 4: *τ]ὴν Οἰδιπόδειαν τὴν ὑπὸ Κιναίθωνος τοῦ* ...... (cf. praefat.).

---

Fragm. VI. ἱερὰς Koechly coni. ep. I p. 10; ἱλαρὰς vulgo. ἱερὸς et ἱλαρὸς confunduntur Philostr. Imagg. I, p. 769 Olear. et alibi. Cf. Panyasidis fragm. infra.

Fragm. VII. Titanes quum saepissime cum Gigantibus

1.

Pausan. IX, 5 11 (5), postquam versus Homericos Od. λ 271—4 laudavit, sic pergit: *Πῶς οὖν ἐποίησαν ἀνάπυστα ἄφαρ, εἰ δὴ τέσσαρες ἐξ Ἰοκάστης ἐγένοντο παῖδες τῷ Οἰδίποδι; ἐξ Εὐρυγανείας δὲ τῆς Ὑπέρφαντος ἐγεγόνεσαν. δηλοῖ δὲ καὶ ὁ τὰ ἔπη ποιήσας ἃ Οἰδιπόδια ὀνομάζουσι.*

2.

Schol. Monac. ad Eur. Phoen. 1760: *Οἱ τὴν Οἰδιποδίαν γράφοντες* (*οὐδεὶς οὕτω φησὶ περὶ τῆς Σφιγγός*) . . . . . .

*Ἀλλ' ἔτι κάλλιστόν τε καὶ ἱμεροέστατον ἄλλων,*
*παῖδα φίλον Κρείοντος ἀμύμονος, Αἵμονα δῖον.*]

---

THEBAIS.

Laudatur in tab. Borgiaca: v. supra p. 3. Pausan. IX, 9, 5 (3): *Ἐποιήθη δὲ ἐς τὸν πόλεμον τοῦτον καὶ ἔπη Θηβαΐς· τὰ δὲ ἔπη ταῦτα Καλλῖνος, ἀφικόμενος*

---

commutentur (cf. Philonem ap. Euseb. praep. ev. I p. 39 D et disceptationem confusam in Schol. Eur. Hec. 471), hoc fragmentum ad Titanomachiam rettulerunt Weichert et Welcker.

Fragm. II. „Scholii veteris hae tantum supererant in Aug. cod. reliquiae, proximis e Pisandro (cf. infra) subiectae. Qui haec pauca de multis excerpsit literator ista reliquis forsan adiecit: *οὐδεὶς οὕτω φησὶ περὶ τῆς Σφιγγός*. Vetusti carminis versus describere neglexit, praeter hos duo suavissimos, quorum sensus ab illis pendet qui perierunt, aliunde tamen non difficulter eruendus. Utrum sint ex Oedipodiae poemate, an ex Heraclea Pisandri, definiri nequit.“ Valcken.

Cf. Schol. Plat. ap. Gaisf. Lect. Platon. p. 169 sq. (= p. 893[a] 11 sqq. ed. Tur.) *Μέλητος δὲ τραγῳδίας φαῦλος ποιητής, Θρᾷξ γένος, ὡς Ἀριστοφάνης Βατράχοις, Πελαργοῖς Λαΐου υἱὸν αὐτὸν λέγων· ἐπεὶ ᾧ ἔτει οἱ Πελαργοὶ ἐδιδάσκοντο, καὶ ὁ Μέλητος Οἰδιπόδειαν καθῆκεν, ὡς Ἀριστοτέλης Διδασκαλίαις.*

*αὐτῶν ἐς μνήμην, ἔφησεν Ὅμηρον τὸν ποιήσαντα εἶναι· Καλλίνῳ δὲ πολλοί τε καὶ ἄξιοι λόγου κατὰ ταὐτὰ ἔγνωσαν. Ἐγὼ δὲ τὴν ποίησιν ταύτην μετά γε Ἰλιάδα καὶ τὰ ἔπη τὰ ἐς Ὀδυσσέα ἐπαινῶ μάλιστα.* — Cert. Homeri et Hesiod. p. 323 Goettl. (19 Nietzsche.) *ὁ δ᾽ Ὅμηρος ἀποτυχὼν τῆς νίκης περιερχόμενος ἔλεγε τὰ ποιήματα, πρῶτον μὲν τὴν Θηβαΐδα, ἔπη ͵ξ.*[1]) Procl. *Γένος Ἡσιόδου* in Gaisford Poetae minn. Grr. II p. 6 sq. [7 Lips.] *τὸν παλαιὸν δὲ Ὅμηρον Διονύσιος ὁ κυκλογράφος φησὶν ἐπ᾽ ἀμφοτέρων ὑπάρχειν τῶν Θηβαϊκῶν στρατειῶν, καὶ τῆς Ἰλίου ἁλώσεως.* — Pseudo-Herodot. vita Homeri § 9 (p. 4 Westerm.): *χρόνου δὲ προϊόντος ἐν τῇ Σμύρνῃ ἄπορος ἐὼν τοῦ βίου διενοήθη ἀπικέσθαι ἐς Κύμην, πορευόμενος δὲ διὰ τοῦ Ἕρμου πεδίου ἀπικνέεται ἐς Νέον τεῖχος, ἀποικίην Κυμαίων*.......... Ubi *κατήμενος ἐν σκυτείῳ παρεόντων καὶ ἄλλων τήν τε ποίησιν αὐτοῖς ἐπεδείκνυτο, Ἀμφιάρεώ τε τὴν ἐξελασίαν τὴν ἐς Θήβας καὶ τοὺς ὕμνους τοὺς ἐς θεοὺς πεποιημένους αὐτῷ.*

Cyclica nominatur Thebais ab Athenaeo et alibi, cf. infra. — Leutsch Thebaidis cyclicae reliquiae [Gott. 1830].

1.

*Ἄργος ἄειδε, θεά, πολυδίψιον, ἔνθεν ἄνακτες* —

Cert. Homer. et Hesiod. p. 323 sq. Goettl. 19 sq. Nietzsche. *ὁ δ᾽ Ὅμηρος ἀποτυχὼν τῆς νίκης περιερχόμενος ἔλεγε τὰ ποιήματα, πρῶτον μὲν τὴν Θηβαΐδα, ἔπη ͵ζ, ἧς ἡ ἀρχὴ „Ἄργος — ἄνακτες“.*

---

1) Sic Herm. pro ξ̄.

2.

*Αὐτὰρ ὁ διογενὴς ἥρως ξανθὸς Πολυνείκης*
*πρῶτα μὲν Οἰδιπόδῃ καλὴν παρέθηκε τράπεζαν*
*ἀργυρέην Κάδμοιο θεόφρονος· αὐτὰρ ἔπειτα*
*χρύσεον ἔμπλησεν καλὸν δέπας ἡδέος οἴνου.*
*αὐτὰρ ὅ γ' ὡς φράσθη παρακείμενα πατρὸς ἑοῖο*
*τιμήεντα γέρα, μέγα οἱ κακὸν ἔμπεσε θυμῷ,*
*αἶψα δὲ παισὶν ἑοῖσι μετ' ἀμφοτέροισιν ἐπαρὰς*
*ἀργαλέας ἠρᾶτο· θεῶν δ' οὐ λάνθαν' ἐρινύν·*
*ὡς οὔ οἱ πατρώϊ' ἐν ἠθείῃ φιλότητι*
*δάσσαιντ', ἀμφοτέροισι δ' ἀεὶ πόλεμοί τε μάχαι τε...*

Athen. XI p. 465 E: *Ὁ δὲ Οἰδίπους δι' ἐκπώματα τοῖς υἱοῖς κατηράσατο, ὡς ὁ τὴν κυκλικὴν Θηβαΐδα πεποιηκώς φησιν, ὅτι αὐτῷ παρέθηκαν ἔκπωμα ὃ ἀπηγορεύκει, λέγων οὕτως „αὐτὰρ — μάχαι τε".*

3.

*Ἰσχίον ὡς ἐνόησε, χαμαὶ βάλεν εἶπέ τε μῦθον·*
*ὤ μοι ἐγώ, παῖδες μὲν ὀνειδείοντες ἔπεμψαν.*

---

Fragm. II. 2. *Οἰδιπόδῃ* Herm. ad Soph. Oed. Col. 1377; *Οἰδίποδι* vulgo. — 7. *μεταμφοτέροισι* propos. Meineke. Eustath. ad Od. p. 1684, 6 Rom. 434 Bas. *ἀπώλοντο* (sc. Eteocles Polynicesque) *ἀλληλοκτονήσαντες διὰ τὰς ἐκ τοῦ πατρὸς ἀράς. ὧν αἴτιον κατά τινας, ὅτι παρέθεντο ἐκεῖνοι τῷ πατρὶ ἐκπώματα, ἅπερ ἐκεῖνος ἀπηγορεύκει· ἦσαν δὲ ἐκεῖνα κατὰ τὸν πεποιηκότα τὴν κυκλικὴν Θηβαΐδα πατρὸς ἑοῖο τιμήεντα γέρα, τουτέστι τοῦ Λαΐου.* — 8. *θεῶν δ' — ἐρινύν* („neque latuit deorum vindictam") Meineke; *θεὸν — ἐρινύν* vulgo. — In extrema fragmenti parte secutus sum Meinekium; libri *πατρῴαν εἴη φιλότητι*, in quibus Meinekio latere visum est quod in textum recepimus. Herm. voluit *ὡς οὔ οἱ πατρώϊ' ἐνηείῃ φιλότητος δάσσαιντ'* (*δάσαιντο* vel *δάσαντο* libri), *ἀμφοτέροισι δ' ἔοι πόλεμοί τε μάχαι τε.*

Fragm. II. 2. *ὀνείδειον τόδ'* Buttm. — 3. *εὖκτο δὲ Διὶ* Buttmann Gr. Gr. II p. 405. Dübn.; cf. Schneidewin exercitt. critt. p. 29 (*παῖδες μέγ'*). — *βασιλῆι* Tricl. Brunck; *βασιλεῖ* Schol. Laur.

*εὖκτο Διὶ βασιλῆι καὶ ἄλλοις ἀθανάτοισι,*
*χερσὶν ὑπ' ἀλλήλων καταβήμεναι Ἄϊδος εἴσω.*

Schol. Laur. ad Soph. Oed. Col. 1375: *Τοῦτο ἀπαξάπαντες οἱ πρὸ ἡμῶν παραλελοίπασιν· ἔχει δὲ τὰ ἀπὸ τῆς ἱστορίας οὕτως· οἱ περὶ Ἐτεοκλέα καὶ Πολυνείκην δι' ἔθους ἔχοντες τῷ πατρὶ Οἰδίποδι πέμπειν ἐξ ἑκάστου ἱερείου μοῖραν τὸν ὦμον, ἐκλαθόμενοί ποτε, εἴτε κατὰ ῥαστώνην, εἴτε ἐξ ὅτου οὖν, ἰσχίον αὐτῷ ἔπεμψαν· ὁ δὲ μικροψύχως καὶ τελέως ἀγεννῶς, ὅμως γοῦν ἀρὰς ἔθετο κατ' αὐτῶν, δόξας κατολιγωρεῖσθαι. Ταῦτα ὁ τὴν κυκλικὴν Θηβαΐδα ποιήσας ἱστορεῖ οὕτως· „Ἰσχίον — εἴσω“.*

4.

*Εἵματα λυγρὰ φέρων σὺν Ἀρείονι κυανοχαίτῃ.*

Pausan. VIII, 25, 8 (5): *ἐπάγονται δὲ ἐξ Ἰλιάδος ἔπη καὶ ἐκ Θηβαΐδος μαρτύριά σφισιν εἶναι τῷ λόγῳ* (Neptunum Arionem e Cerere suscepisse)....... *ἐν δὲ τῇ Θηβαΐδι ὡς Ἄδραστος ἔφευγεν ἐκ Θηβῶν „εἵματα — κυανοχαίτῃ“.* Cf. Schol. Ven. ad Il. Ψ 346.

5.

Pind. Ol. VI, 15 sqq. (23 sqq.) *ἑπτὰ δ' ἔπειτα πυρᾶν νεκρῶν ἐτασθέντων Ταλαϊονίδας | εἶπεν ἐν Θήβαισι τοιοῦτόν τι ἔπος· Ποθέω στρατιᾶς ὀφθαλμὸν ἐμᾶς, | ἀμφότερον μάντιν τ' ἀγαθὸν καὶ δουρὶ μάρνασθαι,* ubi Schol.: *ὁ Ἀσκληπιάδης φησὶ ταῦτα εἰληφέναι ἐκ τῆς κυκλικῆς Θηβαΐδος.*

6.

Apollod. I, 8, 4, 1: *Ἀλθαίας δὲ ἀποθανούσης ἔγημεν Οἰνεὺς Περίβοιαν τὴν Ἱππονόου· ταύτην δὲ ὁ μὲν*

γράψας τὴν Θηβαΐδα πολεμηθείσης Ὠλένου λέγει λαβεῖν Οἰνέα γέρας.

7.

Pausan. IX, 18, 6 (4): Πρὸς δὲ τῇ πηγῇ (sc. Oedipodiae) τάφος ἐστὶν Ἀσφοδίκου· καὶ ὁ Ἀσφόδικος οὗτος ἀπέκτεινεν ἐν τῇ μάχῃ τῇ πρός Ἀργείους Παρθενοπαῖον τὸν Ταλαοῦ, καθὰ οἱ Θηβαῖοι λέγουσιν, ἐπεὶ τά γε ἐν Θηβαΐδι ἔπη τὰ ἐς τὴν Παρθενοπαίου τελευτὴν Περικλύμενον τὸν ἀνελόντα φησὶν εἶναι.

---

## EPIGONI.

Cert. Homeri et Hesiod. p. 323 sq. Goettl. 19 sq. Nietzsche. ὁ δ' Ὅμηρος ἀποτυχὼν τῆς νίκης περιερχόμενος ἔλεγε τὰ ποιήματα, πρῶτον μὲν τὴν Θηβαΐδα, ἔτη ,ζ, ....... εἶτα Ἐπιγόνους, ἔπη ,ζ. Herodot. IV, 32. Ἀλλ' Ἡσιόδῳ μέν ἐστι περὶ Ὑπερβορέων εἰρημένα, ἔστι δὲ καὶ Ὁμήρῳ ἐν Ἐπιγόνοισι, εἰ δὴ τῷ ἐόντι γε Ὅμηρος ταῦτα τὰ ἔπεα ἐποίησε.

1.

*Νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα, Μοῦσαι.*

Cert. Homer. et Hes. supra laudatum: ὁ δ' Ὅμηρος — Ἐπιγόνους, ἔπη ,ζ, ὧν ἡ ἀρχή „Νῦν — Μοῦσαι". Aristoph. Pac. 1270 „Νῦν — ἀρχώμεθα", ubi cf. Schol.[1])

2.

Suid. (Vol. II, 2 p. 1093 Bernh.) et Phot. Lex. v. Τευμησία: Περὶ τῆς Τευμησίας ἀλώπεκος οἱ τὰ Θηβαϊκὰ γεγραφότες[2]) ἱκανῶς ἱστορήκασι, καθάπερ Ἀρι-

---

1) Ἀρχὴ δὲ τῶν Ἐπιγόνων Ἀντιμάχου(!). 2) γεγραφηκότες Phot.

στόδημος. ἐπιπεμφθῆναι μὲν γὰρ ὑπὸ θεῶν τὸ θηρίον τοῦτο τοῖς Καδηείοις, διότι[1]) τῆς βασιλείας ἐξέκλειον τοὺς ἀπὸ Κάδμου γεγονότας. Κέφαλον δέ φασι τὸν Δηιόνος, Ἀθηναῖον ὄντα καὶ κύνα κεκτημένον, ὃν οὐδὲν διέφευγε τῶν θηρίων· ὃς[2]) ἀπέκτεινεν ἄκων τὴν ἑαυτοῦ γυναῖκα Πρόκριν, καθηράντων αὐτὸν τῶν Καδμείων· διώκειν τὴν ἀλώπεκα μετὰ τοῦ κυνός· καταλαμβανομένους δὲ περὶ τὸν Τευμησόν, λίθους γενέσθαι τόν τε κύνα καὶ τὴν ἀλώπεκα. εἰλήφασι δ' οὗτοι τὸν μῦθον ἐκ τοῦ ἐπικοῦ κύκλου.

3.

Herodot. IV, 32. Ἀλλ' Ἡσιόδῳ μέν ἐστι περὶ Ὑπερβορέων εἰρημένα, ἔστι δὲ καὶ Ὁμήρῳ ἐν Ἐπιγόνοισι, εἰ δὴ τῷ ἐόντι γε Ὅμηρος ταῦτα τὰ ἔπεα ἐποίησε.

4.

Schol. Laur. ad Apoll. Rhod. I, 308. Οἱ δὲ τὴν Θηβαΐδα[3]) γεγραφότες[4]) φασὶν ὅτι ὑπὸ τῶν Ἐπιγόνων ἀκροθίνιον ἀνετέθη Μαντὼ ἡ Τειρεσίου θυγάτηρ εἰς Δελφοὺς πεμφθεῖσα, καὶ κατὰ χρησμὸν Ἀπόλλωνος ἐξερχομένη περιέπεσε Ῥακίῳ τῷ Λέβητος υἱῷ, Μυκηναίῳ τὸ γένος. καὶ γημαμένη αὐτῷ (τοῦτο γὰρ περιεῖχε τὸ λόγιον, γαμεῖσθαι ᾧ ἂν συναντήσῃ), ἐλθοῦσα εἰς Κολοφῶνα καὶ ἐκεῖ δυσθυμήσασα ἐδάκρυσε διὰ τὴν τῆς πατρίδος πόρθησιν.

---

1) διὸ Phot. 2) θηρίων, ὡς Phot. 3) Leutsch theses sexaginta (1833), n. 15: „Thebais cyclica prius Argivorum bellum contra Thebanos complexa est: postea vero a Grammaticis cum Epigonis coniuncta est. Hinc explicandi Herodot. IV, 32. Pausan. IX, 9. Schol. Apoll. I, 308". 4) Müller p. 75.

* * *

CYPRIA.

De hoc poemate celeberrimo Schol. ad Clem. Alex. II, 30 p. 26' Pott. (Vol. IV, p. 104 Klotz.) *Κύπρια ποιήματά εἰσι τὰ τοῦ κύκλου· περιέχει δὲ ἁρπαγὴν Ἑλένης· ὁ δὲ ποιητὴς αὐτῶν ἄδηλος· εἷς γάρ ἐστι τῶν κυκλικῶν κτλ.* (cf. supra p. 3).

Phot. Bibl. p. 319 Bekk. ex Procli Chrestomathia (cf. supra p. 1) *Λέγει δὲ καὶ περί τινων Κυπρίων ποιημάτων, καὶ ὡς οἱ μὲν ταῦτα εἰς Στασῖνον ἀναφέρουσι Κύπριον, οἱ δὲ Ἡγησῖνον τὸν Σαλαμίνιον αὐτοῖς ἐπιγράφουσιν, οἱ δὲ Ὅμηρον· δοῦναι δὲ ὑπὲρ τῆς θυγατρὸς Στασίνῳ*[1]*), καὶ διὰ τὴν αὐτοῦ πατρίδα Κύπρια τὸν πόνον ἐπικληθῆναι. ἀλλ' οὐ τίθεται* [*ὁ συγγραφεὺς*] *ταύτῃ τῇ αἰτίᾳ· μηδὲ γὰρ Κύπρια προπαροξυτόνως ἐπιγράφεσθαι τὰ ποιήματα.*

Suid. v. *Ὅμηρος. Ἀναφέρεται δὲ εἰς αὐτὸν καὶ ἄλλα τινὰ ποιήματα, .......... Κύπρια.*

Herodot. II, 116 sq. *ἐν τούτοισι τοῖσι ἔπεσι* (Il. Z 289—292) *δηλοῖ ὅτι ἠπίστατο τὴν ἐς Αἴγυπτον Ἀλεξάνδρου πλάνην· ὁμουρέει γὰρ ἡ Συρίη Αἰγύπτῳ, οἱ δὲ Φοίνικες, τῶν ἐστι ἡ Σιδών, ἐν τῇ Συρίῃ οἰκέουσι. κατὰ ταῦτα δὲ τὰ ἔπεα καὶ τόδε* [*τὸ χωρίον*, quod seclusit Valck.] *οὐκ ἥκιστα ἀλλὰ μάλιστα δηλοῖ ὅτι οὐκ Ὁμήρου τὰ Κύπρια ἔπεά ἐστι ἀλλ' ἄλλου τινός. κτλ.* (Cf. infra fragm. 8.)

---

1) Suid. v. *Ὅμηρος* (Vol. II, 1 p. 1096 Bernh.): *γήμας δ' ἐν Χίῳ Ἀρησιφόνην, τὴν Γνώτορος τοῦ Κυμαίου θυγατέρα, ἔσχεν υἱεῖς δύο καὶ θυγατέρα· ἣν ἔγημε Στασῖνος ὁ Κύπριος.* Aelian. Var. Hist. IX, 15. Tzetz. Chiliad. XIII. 636—640.

Athen. XV p. 682 D, E: *Ἀνθῶν δὲ στεφανωτικῶν μέμνηται ὁ μὲν τὰ Κύπρια ἔπη πεποιηκὼς Ἡγησίας ἢ Στασῖνος ..... Δημοδάμας γὰρ ὁ Ἁλικαρνασσεὺς ἢ Μιλήσιος ἐν τῷ περὶ Ἁλικαρνασσοῦ [οὐ] κύπρια, Ἁλικαρνασσέως δ' αὐτὰ εἶναί φησι ποιήματα*[1]). Cf. VIII, p. 334 B. Grammaticus (ap. Cram. An. Oxon. IV p. 315) de generibus artis criticae disserens: *Ἕκτον κρίσις ποιημάτων· πολλὰ γὰρ νοθευόμενά ἐστιν, ὡς ἡ Σοφοκλέους Ἀντιγόνη. λέγεται γὰρ εἶναι Ἀντιφῶντος* (l. *Ἰοφῶντος*) *τοῦ Σοφοκλέους υἱοῦ. ὁμοίως τὰ Κυπριακά.*

Carmen nominatur *τὰ Κυπριακά* a Tzetz. ad Lyc. Cass. 570. Eustath. ad. Od. p. 1623 Rom. Gramm. ap. Cramer. l. l. etc., *τὰ Κυπριακὰ ποιήματα* a Clem. Alex. Protr. II, 30 p. 26 Pott., saepissime *τὰ Κύπρια.*

Subsidia: Henrichsen de carminibus Cypriis (Havn. 1832). Schlie „Zu den Kyprien. Eine archaeologische Abhandlung". Berol. 1874. pp. 45.

---

Proclus Chrestom. Lib. I[2]): *Ἐπιβάλλει τούτοις τὰ λεγόμενα Κύπρια ἐν βιβλίοις φερόμενα ἕνδεκα, ὧν περὶ τῆς γραφῆς ὕστερον ἐροῦμεν, ἵνα μὴ τὸν ἑξῆς*

---

1) „Post *Στασῖνος* indicavi lacunam cum Welckero Epic. Cycl. I p. 305. Recte idem praeeunte Hemsterhusio post *σοῦ* inseruit *οὐ*. Pro *Κύπρια* quamvis repugnante Welckero malim cum Hemsterh. *Κυπρίου*. Erunt fortasse qui Heckero Phil. V p. 433 assentiantur totum Athenaei locum ita refingenti: *Δημοδάμας δὲ ὁ Ἁλικαρνασσεὺς ἢ Μιλήσιος ἐν τῷ περὶ Ἁλικαρνασσοῦ Κυπρία* (a *Κυπρίας*) *Ἁλικαρνασσέως αὐτὰ εἶναί φησι ποιήματα.*" Meineke ad h. loc. [Analecta critica ad Ath. p. 331.] 2) Epitome haec debetur codd. quattuor, *E* = Escor. vel Matrit., *M* = Monac. Gr. 111, *N* = Neap., *P* = Parm., quos ex cod. Veneto *A*, quum adhuc integer esset, derivatos esse coni.

λόγον νῦν ἐμποδίζωμεν· τὰ δὲ περιεχόμενά[1]) ἐστι ταῦτα. Ζεὺς βουλεύεται μετὰ τῆς Θέμιδος[2]) περὶ τοῦ Τρωικοῦ πολέμου. παραγενομένη δὲ Ἔρις εὐωχουμένων τῶν θεῶν ἐν τοῖς Πηλέως γάμοις νεῖκος περὶ κάλλους ἐνίστησιν Ἀθηνᾷ Ἥρᾳ καὶ Ἀφροδίτῃ, αἳ πρὸς Ἀλέξανδρον ἐν Ἴδῃ κατὰ Διὸς προσταγὴν ὑφ' Ἑρμοῦ πρὸς τὴν κρίσιν ἄγονται· καὶ προκρίνει τὴν Ἀφροδίτην ἐπαρθεὶς τοῖς Ἑλένης γάμοις Ἀλέξανδρος[3]). ἔπειτα δὲ Ἀφροδίτης ὑποθεμένης ναυπηγεῖται· καὶ Ἕλενος περὶ τῶν μελλόντων αὐτῷ[4]) προθεσπίζει· καὶ ἡ Ἀφροδίτη Αἰνείαν συμπλεῖν αὐτῷ κελεύει· καὶ Κασσάνδρα περὶ τῶν μελλόντων προδηλοῖ. ἐπιβὰς δὲ τῇ Λακεδαιμονίᾳ Ἀλέξανδρος ξενίζεται παρὰ τοῖς Τυνδαρίδαις, καὶ μετὰ ταῦτα ἐν τῇ Σπάρτῃ παρὰ Μενελάῳ· καὶ Ἑλένῃ παρὰ τὴν εὐωχίαν δίδωσι δῶρα ὁ Ἀλέξανδρος. καὶ μετὰ ταῦτα Μενέλαος εἰς Κρήτην ἐκπλεῖ, κελεύσας τὴν Ἑλένην τοῖς ξένοις τὰ ἐπιτήδεια παρέχειν ἕως ἂν ἀπαλλαγῶσιν. ἐν τούτῳ δὲ Ἀφροδίτη συνάγει τὴν Ἑλένην τῷ Ἀλεξάνδρῳ· καὶ μετὰ τὴν μῖξιν τὰ πλεῖστα κτήματα ἐνθέμενοι νυκτὸς ἀποπλέουσι. χει-

---

Studemund ap. Jahn. Bilderchron. p. 94. — Cod. *E* (a Tychsenio inspecto) nisus Heyne epitomen primum edidit in Bibl. litter. artisque vett. fasc. I. Ined. p. 23—26. — *M* in lucem protraxit Thiersch in Actis philol. Monac. II p. 572 sqq. *P* contulit H. Keil. Mus. Rh. Nov. Ser. VI p. 141 sq.; de *N* cf. Welcker Cycl. ep. II. p. 504 sq. Epitomen post Heynium ediderunt Gaisford. (app. ad Hephaest. p. 471—476 [523—527 ed. Lips.]) Welcker. alii; nuperrime Michaelis in Jahn. Bilderchron. p. 98 sq. et Dindorf. in Schol. ad Il. Vol. I p. XXXIV sqq.

1) Sic Bekk. Tzetz. Antehom. p. VII.; περιέχοντα codd. 2) Θέμιδος Heyne; θέτιδος codd. 3) ὁ Ἀλέξανδρος Bekker. 4) Sic Heyne; αὐτῆς *M*, αὐτοῖς rell.; ἐξ αὐτῆς Thiersch Acta II p. 590.

μῶνα[1]) δὲ αὐτοῖς ἐφίστησιν[2]) Ἥρα· καὶ προσενεχθεὶς Σιδῶνι ὁ Ἀλέξανδρος αἱρεῖ τὴν πόλιν· καὶ ἀποπλεύσας εἰς Ἴλιον γάμους τῆς Ἑλένης ἐπετέλεσεν. ἐν τούτῳ δὲ Κάστωρ μετὰ Πολυδεύκους τὰς Ἴδα καὶ Λυγκέως βοῦς ὑφαιρούμενοι[3]) ἐφωράθησαν· καὶ Κάστωρ μὲν ὑπὸ τοῦ Ἴδα ἀναιρεῖται, Λυγκεὺς δὲ καὶ Ἴδας ὑπὸ Πολυδεύκους· καὶ Ζεὺς αὐτοῖς ἑτερήμερον νέμει τὴν ἀθανασίαν. καὶ μετὰ ταῦτα Ἶρις ἀγγέλλει[4]) τῷ Μενελάῳ τὰ γεγονότα κατὰ τὸν οἶκον· ὁ δὲ παραγενόμενος περὶ τῆς ἐπ᾿ Ἴλιον[5]) στρατείας βουλεύεται μετὰ τοῦ ἀδελφοῦ, καὶ πρὸς Νέστορα παραγίνεται Μενέλαος· Νέστωρ δὲ ἐν παρεκβάσει διηγεῖται αὐτῷ, ὡς Ἐπωπεὺς φθείρας τὴν Λύκου[6]) θυγατέρα ἐξεπορθήθη, καὶ τὰ περὶ Οἰδίπουν καὶ τὴν Ἡρακλέους μανίαν καὶ τὰ περὶ Θησέα καὶ Ἀριάδνην. ἔπειτα τοὺς ἡγεμόνας ἀθροίζουσιν ἐπελθόντες τὴν Ἑλλάδα. καὶ μαίνεσθαι προσποιησάμενον τὸν Ὀδυσσέα ἐπὶ τῷ μὴ θέλειν συστρατεύεσθαι ἐφώρασαν, Παλαμήδους ὑποθεμένου τὸν υἱὸν Τηλέμαχον ἐπὶ κόλουσιν[7]) ἐξαρπάσαντες. καὶ μετὰ ταῦτα συνελθόντες εἰς Αὐλίδα θύουσι· καὶ τὰ περὶ τὸν δράκοντα καὶ τοὺς στρουθοὺς γενόμενα δείκνυται, καὶ Κάλχας περὶ τῶν ἀποβησομένων προλέγει αὐτοῖς. ἔπειτα ἀναχθέντες Τευθρανίᾳ προσίσχουσι καὶ ταύτην ὡς Ἴλιον ἐπόρθουν· Τήλεφος δὲ ἐκβοηθεῖ[8])

---

1) χειμῶνα — πόλιν „interpolata sunt et ab eo haud dubie profecta, qui hoc argumentum e Proclo excerpsit“ Wüllner de cyclo p. 73. Cf. infra ad fragm. 8. 2) ἐφίησιν Welcker. 3) Sic Heyne; ὑφαιρόμενοι codd. 4) ἀγγέλλει *PN*, ἀγγέλει *M*, ἀναγγέλλει *E*, ἀπαγγέλλει Heyne, ἀπαγγέλλεται Dübner. 5) Ἰλίου *E*. 6) Λύκου Heyne coll. Apollodor. III, 5, 5; Λυκούργου codd. 7) Sic Welcker Cycl. ep. II, 506; κόλασιν codd. 8) Sic *N*; ἐκ βοηθείας reliqui.

Θέρσανδρόν τε τὸν Πολυνείκους κτείνει καὶ αὐτὸς ὑπὸ Ἀχιλλέως τιτρώσκεται. ἀποπλέουσι δὲ αὐτοῖς ἐκ τῆς Μυσίας χειμὼν ἐπιπίπτει, καὶ διασκεδάννυνται· Ἀχιλλεὺς δὲ Σκύρῳ προσσχὼν γαμεῖ τὴν Λυκομήδους θυγατέρα Δηιδάμειαν[1]). ἔπειτα Τήλεφον κατὰ μαντείαν παραγενόμενον εἰς Ἄργος ἰᾶται Ἀχιλλεὺς ὡς ἡγεμόνα γενησόμενον τοῦ ἐπ' Ἴλιον πλοῦ. καὶ τὸ δεύτερον ἠθροισμένου τοῦ στόλου ἐν Αὐλίδι Ἀγαμέμνων ἐπὶ θήρας[2]) βαλὼν ἔλαφον ὑπερβάλλειν ἔφησε καὶ τὴν Ἄρτεμιν· μηνίσασα δὲ ἡ θεὸς ἐπέσχεν αὐτοὺς τοῦ πλοῦ χειμῶνας ἐπιπέμπουσα· Κάλχαντος δὲ εἰπόντος τὴν τῆς θεοῦ μῆνιν καὶ Ἰφιγένειαν κελεύσαντος θύειν τῇ Ἀρτέμιδι, ὡς ἐπὶ γάμον αὐτὴν Ἀχιλλεῖ μεταπεμψάμενοι θύειν ἐπιχειροῦσιν· Ἄρτεμις δὲ αὐτὴν[3]) ἐξαρπάσασα[4]) εἰς Ταύρους μετακομίζει καὶ ἀθάνατον ποιεῖ, ἔλαφον δὲ ἀντὶ τῆς κόρης παρίστησι τῷ βωμῷ. ἔπειτα καταπλέουσιν εἰς Τένεδον, καὶ εὐωχουμένων αὐτῶν Φιλοκτήτης ὑφ' ὕδρου πληγεὶς διὰ τὴν δυσοσμίαν ἐν Λήμνῳ κατελείφθη[5]). καὶ Ἀχιλλεὺς ὕστερος[6]) κληθεὶς διαφέρεται πρὸς Ἀγαμέμνονα. ἔπειτα ἀποβαίνοντας αὐτοὺς εἰς Ἴλιον εἴργουσιν οἱ Τρῶες, καὶ θνήσκει Πρωτεσίλαος ὑφ' Ἕκτορος. ἔπειτα Ἀχιλλεὺς αὐτοὺς τρέπεται ἀνελὼν Κύκνον τὸν Ποσειδῶνος, καὶ τοὺς νεκροὺς ἀναιροῦνται. καὶ διαπρεσβεύονται πρὸς τοὺς Τρῶας τὴν Ἑλένην καὶ τὰ κτήματα ἀπαιτοῦντες· ὡς δὲ οὐχ ὑπήκουσαν ἐκεῖνοι, ἐνταῦθα δὴ τειχο-

---

1) Michaelis Schol. ad Il. *T* 326 conferri iubet. 2) Sic Bekk.; *θήραν* codd.; *ἐπὶ θήραν ἐξιὼν* (vel. *ἐξαγαγὼν*) *καὶ β.* coni. Heyne. 3) Sic Heyne; *αὐτῇ* codd. 4) *ἐξαρπάξασα* Bekker. 5) Sic *N*; *κατελήφθη EP* (*γρ. κατεβλήθη P*), *κατελήθη M.* 6) *ὕστερον* Bekker; sed cf. Nauck. (Studd. Euripp.) ad Eur. Alc. 26.

μαχοῦσιν. ἔπειτα τὴν χώραν ἐπεξελθόντες πορθοῦσι καὶ τὰς περιοίκους πόλεις. καὶ μετὰ ταῦτα Ἀχιλλεὺς Ἑλένην[1]) ἐπιθυμεῖ θεάσασθαι, καὶ συνήγαγεν αὐτοὺς εἰς τὸ αὐτὸ Ἀφροδίτη καὶ Θέτις. εἶτα ἀπονοστεῖν ὡρμημένους τοὺς Ἀχαιοὺς Ἀχιλλεὺς κατέχει· κἄπειτα ἀπελαύνει τὰς Αἰνείου βόας, καὶ Λυρνησὸν καὶ Πήδασον πορθεῖ καὶ συχνὰς τῶν περιοικίδων πόλεων· καὶ Τρωίλον φονεύει. Λυκάονά τε Πάτροκλος εἰς Λῆμνον ἀγαγὼν ἀπεμολᾷ. καὶ ἐκ τῶν λαφύρων Ἀχιλλεὺς μὲν Βρισηίδα γέρας λαμβάνει, Χρυσηίδα δὲ Ἀγαμέμνων. ἔπειτά ἐστι Παλαμήδους θάνατος, καὶ Διὸς βουλὴ ὅπως ἐπικουφίσει[2]) τοὺς Τρῶας Ἀχιλλέα τῆς συμμαχίας τῆς Ἑλληνικῆς ἀποστήσας· καὶ κατάλογος τῶν τοῖς Τρωσὶ συμμαχησάντων[3]).

---

1.

Ἦν ὅτε μυρία φῦλα κατὰ χθόνα πλαζόμεν' ἀ[νδρῶν
. . . ἐβάρυνε] βαθυστέρνου πλάτος αἴης.
Ζεὺς δὲ ἰδὼν ἐλέησε καὶ ἐν πυκιναῖς πραπίδεσσι
σύνθετο κουφίσσαι βάρεος παμβώτορα γαῖαν

---

1) Ἑλένην — Ἀχαιοὺς Ἀχιλλεὺς om. *MP*. 2) ἐπικουφίσει Bekk.; ἐπικουφίσῃ *ENP*, ἐπικουφήσῃ *M*. 3) συμμαχησόντων Welcker.

Fragm. I. 1, 2. χθ. πλαζόμενα βαρυστέρνου πλ. αἴ. Cod. Ven. A. Scholl. minn. Schol. Vind. Cod. Philol. Graec. LXI (v. p. 21). — χθόνα λανήμενα πλαζόμενα βαθυστέρνου πλ. αἴ. I. Nic. Loensis (quem libris manu scriptis usum esse constat) in Gruteri Lamp. V, 2 p. 401. ἀνδρῶν add. Barnes. — 2. Lacunam explere multi conati sunt; mihi probabile videtur ἐβάρυνε, quod coll. κουφίσσαι v. 4 coni. Boissonade et Koechly coni. ep. I, 6. — ἐκπάγλως (ante ἐβάρυνε) supplet Schneidewin Philol. IV. p. 591; totum locum Koechly l. l. sic refingit: χθόνα πάντοθεν ἀνδρῶν | πλαζομένων ἐβάρυνε κτλ. — „Adiectivi βαθυστέρνου exempla v. in Thes. Vol. II. p. 38“ Dind. — 3. πυκινῇς Schneidew. — 4. κουφί-

ῥιπίσσας πολέμου μεγάλην ἔριν Ἰλιακοῖο,
ὄφρα κενώσειεν θανάτῳ βάρος· οἱ δ' ἐνὶ Τροίῃ
ἥρωες κτείνοντο, Διὸς δ' ἐτελείετο βουλή.

Schol. Ven. *A* ad Hom. Il. *A*, 5, 6: ἄλλοι δ' ἀπὸ ἱστορίας τινὸς εἶπον εἰρηκέναι τὸν Ὅμηρον. φασὶ γὰρ τὴν γῆν βαρουμένην ὑπ' ἀνθρώπων πολυπληθίας, μηδεμιᾶς ἀνθρώπων οὔσης εὐσεβείας, αἰτῆσαι τὸν Δία κουφισθῆναι τοῦ ἄχθους· τὸν δὲ Δία πρῶτον μὲν εὐθὺς ποιῆσαι τὸν Θηβαϊκὸν πόλεμον, δι' οὗ πολλοὺς πάνυ ἀπώλεσεν· ὕστερον δὲ πάλιν συμβούλῳ τῷ Μώμῳ χρησάμενος, ἣν Διὸς βουλὴν Ὅμηρός φησιν, ἐπειδὴ οἷός τε ἦν κεραυνοῖς ἢ κατακλυσμοῖς πάντας διαφθείρειν. ὅπερ τοῦ Μώμου κωλύσαντος, ὑποθεμένου δὲ αὐτῷ τὴν Θέτιδος θνητογαμίαν καὶ θυγατέρος καλῆς γένναν, ἐξ ὧν ἀμφοτέρων πόλεμος Ἕλλησί τε καὶ βαρβάροις ἐγένετο, ἀφ' οὗ χρόνου συνέβη κουφισθῆναι τὴν γῆν, πολλῶν ἀναιρεθέντων. ἡ δὲ ἱστορία παρὰ Στασίνῳ τῷ τὰ Κύπρια πεποιηκότι, εἰπόντι οὕτως „ἦν — βουλή“. Cf. Schol. Vind. Cod. Philol. Graec. LXI. in Ephem. litt. Hal. 1840. Vol. I p. 516. Schol. ad Il. ap. Cramer. Anecd. Oxon. IV. 405. Eurip. Hel. 38 sqq. Orest. 1639 sqq. (cum. Schol. ad v. 1641). Köhler in Mus. Rhen. Nov. Ser. XIII, p. 316 sq.

---

σαι παμβώτορα γαίης (γαῖαν al.) ἀνθρώπων Cod. Ven. *A*. — κουφίσαι παμβότειραν γαίην ἀνθρώπων Schol. Vind. — κουφίσσαι ἀνδρῶν Wolf, κουφίσσαι μερόπων Pflugk ad Eurip. Hel. p. 5; βάρεος, quod in textum recepimus, debetur Schneidewino. — 5. ῥιπίσας πολ. Scholl. minn.; ῥιπίσαι τε πολέμου Cod. Ven. *A*; ῥιπίσαι (sine τε πολέμου) Schol. Vind. ῥιπίσσαι τε πόνου Schneidew. — 6. θανάτῳ Schol. minn.; θανάτου Cod. Ven. *A* Schol. Vind.

2.

Schol. Ven. *A* et minn. ad Il. *Π* 140 ἔγχος δ' οὐχ ἕλετ' οἷον] προκατεσκεύακε μόνον αὐτῷ[1]) τὸ δόρυ σώζεσθαι διὰ τὸ ξύλα μὴ ἐργάζεσθαι τὸν Ἥφαιστον. κατὰ γὰρ τὸν Πηλέως καὶ Θέτιδος γάμον οἱ θεοὶ συναχθέντες εἰς τὸ Πήλιον ἐπ' εὐωχίᾳ ἐκόμιζον Πηλεῖ δῶρα, Χείρων δὲ μελίαν εὐθαλῆ τεμὼν εἰς δόρυ παρέσχε. φασὶ δὲ Ἀθηνᾶν μὲν[2]) ξέσαι αὐτό, Ἥφαιστον δὲ κατασκευάσαι. τούτῳ δὲ τῷ δόρατι καὶ Πηλεὺς ἐν ταῖς μάχαις ἠρίστευσε καὶ μετὰ ταῦτα Ἀχιλλεύς. ἡ ἱστορία παρὰ τῷ τὰ Κύπρια ποιήσαντι.

3.

*Εἵματα μὲν χροῒ ἕστο, τά οἱ Χάριτές τε καὶ Ὧραι*
*ποίησαν καὶ ἔβαψαν ἐν ἄνθεσιν εἰαρινοῖσιν,*
*οἷα φέρουσ' ὧραι, ἔν τε κρόκῳ ἔν θ' ὑακίνθῳ*
*ἔν τε ἴῳ θαλέθοντι ῥόδου τ' ἐνὶ ἄνθεϊ καλῷ*
*ἡδέι νεκταρέῳ, ἔν τ' ἀμβροσίαις καλύκεσσι*

---

1) αὐτῷ Cobet; αὐτὸ Scholl. 2) φασὶ μὲν Ἀθηνᾶν Cod. Ven. *A*.

Fragm. III. Haec non ad Helenam [Meineke Anal. critt. ad Athen. p. 331], sed ad Venerem, quae ad Paridis iudicium ornatur, spectare ostendit Welcker Cycl. ep. II p. 88 sq. — 1. *ἱμάτια* codd.; corr. Canter. — *χροῒ ἕστο, τά οἱ* palmaris est Meinekii emendatio; *χροιᾶς τότε αἱ* codd. — 3. Legebatur *Ὧραι*. *ὧραι* scribendum esse Meineke vidit. — *φοροῦσ'* vulgo. *φέρουσ'* Koechly coni. ep. I p. 8 adsentiente Meinekio, cui „magis tamen *οἷα φέρουσ' αὐταὶ* placeret, ut *οἷα* ad *εἵματα* spectet". — De extrema fragmenti parte optime meruit Koechly, qui recte vidit ante *τοῖ'* (v. 7, olim 6) nonnulla excidisse. Codd. *καλύκεσσιν* | *ἄνθεσι ναρκίσσου καλλιρρόου* (cod. B. *καλλιρόυ*; corr. Meineke). *δ' οια* (*διοια* B) *Ἀφρ.* | *ὥραις* (*ὀδμαῖς* coni. Meineke) *παντοίαις κτλ.* — Post *καλύκεσσι* lacunae signa pos. Meineke; deinde, omnia haec ad Helenae ornatum pertinere ratus, *οἷ' — ἔσται*.

*ναρκίσσου* [*θαλεροῦ*] *καὶ λειρίου*, [*οἷά τε γαῖα*
*ὥραις εἰαριναῖς φύει ἄνθεα·*] *τοῖ' Ἀφροδίτη*
*ἄνθεσι παντοίοις τεθυωμένα εἵματα ἕστο.*

Athen. XV p. 682, D—F: *Ἀνθῶν δὲ στεφανωτικῶν μέμνηται ὁ μὲν τὰ Κύπρια ἔπη πεποιηκὼς Ἡγησίας ἢ Στασῖνος* ...... (cf. supra p. 16) *λέγει δ' οὖν ὅστις ἐστὶν ὁ ποιήσας αὐτὰ ἐν τῷ α'*[1]) *οὑτωσί „Εἵματα* ....... *ἕστο"*.[2])

4.

*Ἡ δὲ σὺν ἀμφιπόλοισι φιλομμειδὴς Ἀφροδίτη*
*πλεξαμένη στεφάνους εὐώδεας ἄνθεα γαίης* ...

* * *

*ἂν κεφαλαῖσιν ἔθεντο θεαὶ λιπαροκρήδεμνοι,*
*Νύμφαι καὶ Χάριτες, ἅμα δὲ χρυσέη Ἀφροδίτη,*
*καλὸν ἀείδουσαι κατ' ὄρος πολυπιδάκου Ἴδης.*

Athenaeus, postquam versus fragm. 3 allatos laudavit, p. 682 F sic pergit: *οὗτος ὁ ποιητὴς καὶ τὴν τῶν στεφάνων χρῆσιν εἰδὼς φαίνεται δι' ὧν λέγει „ἣ —Ἴδης"*.

5.

*Κάστωρ μὲν θνητός, θανάτου δέ οἱ αἶσα πέπρωτο,*
*αὐτὰρ ὅ γ' ἀθάνατος Πολυδεύκης, ὄζος Ἄρηος.*

Clem. Alex. Protr. c. 2 p. 9 (19 A) Sylb. 26 Pott. *προσίτω δὲ καὶ ὁ τὰ Κυπριακὰ ποιήματα γράψας „Κάστωρ —Ἄρηος"*.

---

1) *ια'* codd.; corr. Heyne. 2) Versus quattuor (fragmenti huius v. 1—4) quos Athenaeo auctore usus affere videtur Schol. Lucian. (Vol. IV p. 143 Iacob.), non a scholiasta vetere, sed a viro docto saec. sexti decimi additos esse, ostendit Schneidew. Philol. IV p. 612.

Fragm. IV. 2. „Apertum est post secundum versum ad sententiae absolutionem aliquid desiderari." Meineke. — *ἄνθεα ποίης* coll. Od. *ι*, 449 coni. Hecker. — 4. Vulgo *χρυσῇ*; corr. Meineke.

Fragm. V. 1. *πέπρωτο* Koechly coni. ep. I p. 8; vulgo *πέπρωται*.

6.

*Τοὺς δὲ μέτα τριτάτην Ἑλένην τέκε θαῦμα βροτοῖσι,*
*τήν ποτε καλλίκομος Νέμεσις φιλότητι μιγεῖσα*
*Ζηνὶ θεῶν βασιλῆι τέκε κρατερῆς ὑπ' ἀνάγκης·*
*φεῦγε γάρ, οὐδ' ἔθελεν μιχθήμεναι ἐν φιλότητι*
*πατρὶ Διὶ Κρονίωνι· ἐτείρετο γὰρ φρένας αἰδοῖ*
*καὶ νεμέσει· κατὰ γῆν δὲ καὶ ἀτρύγετον μέλαν ὕδωρ*
*φεῦγε, Ζεὺς δ' ἐδίωκε· λαβεῖν δ' ἐλιλαίετο θυμῷ·*
*ἄλλοτε μὲν κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης*
*ἰχθύϊ εἰδομένη πόντον πολὺν ἐξορόθυνεν,*
*ἄλλοτ' ἀν' ὠκεανὸν ποταμὸν καὶ πείρατα γαίης,*
*ἄλλοτ' ἀν' ἤπειρον πολυβώλακα· γίγνετο δ' αἰεὶ*
*θηρί', ὅσ' ἤπειρος αἰνὰ τρέφει, ὄφρα φύγοι νιν.*

Athen. VIII, p. 334 B—D: *ὁ τὰ Κύπρια ποιήσας ἔπη, εἴτε Κύπριός τίς ἐστιν ἢ Στασῖνος, ἢ ὅστις δή ποτε χαίρει ὀνομαζόμενος, τὴν Νέμεσιν ποιεῖ διωκομένην ὑπὸ Διὸς καὶ εἰς ἰχθὺν μεταμορφουμένην διὰ τούτων* „*Τοῖς — νιν*". Cf. Eustath. ad Il. p. 1321, 38 sqq. Rom. 1442 Bas.

---

Fragm. VI. 1. *Τοὺς δὲ μέτα* Koechly l. l. p. 9 (conferri iubens Hes. fr. 129 Marcksch. [130 ed. nostr.] *τοὺς δὲ μέθ' κτλ.*) comprobante Mein. anal. p. 148; *τοῖς δὲ μετὰ* codd. Athenaei. — *τέκε*] *τρέφε* Ahrens coll. Schneidewin Philol. IV p. 745 et Overbeck hist. sculpt. gr. (ed. I) I p. 219; *ἔχε* Hecker Philol. V p. 437, de Tyndareo vel Leda dici ratus. — Post h. v. lacunam statuendam esse putat Welcker. — 5 sq. *αἰδοῖ. καὶ Νέμεσις* Iunio praeeunte Meineke, sed *νεμέσει* praeclare defendit Welcker; cf. Koechly l. l. p. 9. — 12. Theog. 582: *κνώδαλ', ὅσ' ἤπειρος πολλὰ τρέφει ἠδὲ θάλασσα*, Hymn. in Ven. 4 sq.: *θηρία πάντα, | ἠμὲν ὅσ' ἤπειρος πολλὰ τρέφει ἠδ' ὅσα πόντος.* — *δεινὰ* Welcker; *ἤπειρός γ' αἰνὰ* Düntzer Suppl. p. 16.

7.

Pausan. III, 16, 1: *Πλησίον δὲ Ἱλαείρας καὶ Φοίβης ἐστὶν ἱερόν· ὁ δὲ ποιήσας τὰ ἔπη τὰ Κύπρια θυγατέρας αὐτὰς Ἀπόλλωνός φησιν εἶναι.* (Cf. Stephanum ad Aristot. Rhet. II, 23 in Cram. An. Par. I, 298: *Τυνδάρεως καὶ Ἀφαρεὺς καὶ Λεύκιππος ἀδελφοί. ὁ δὲ Λεύκιππος εἶχε θυγατέρας δύο, Φοίβην καὶ Ἱλάειραν, ἃς οἱ Διόσκουροι ἔτι παρθένους οὔσας ἐξήρπασαν. εἰ γοῦν μὴ οἱ Τυνδαρίδαι πρῶτοι περὶ τὰς ἐξαδέλφας αὐτῶν ἐμάνησαν, οὐδ' ἂν Ἀλέξανδρος περὶ τὴν αὐτῶν ἀδελφήν. οὕτως ἐν τῷ γάμμα τὸ λεξικὸν τὸ Ὁμηρικὸν λέγει.*)

8.

Herodot. II, 117: *Ἐν μὲν γὰρ τοῖσι Κυπρίοισι εἴρηται ὡς τριταῖος ἐκ Σπάρτης Ἀλέξανδρος ἀπίκετο ἐς τὸ Ἴλιον ἄγων Ἑλένην, εὐαέι τε πνεύματι χρησάμενος καὶ θαλάσσῃ λείῃ· ἐν δὲ Ἰλιάδι λέγει ὡς ἐπλάζετο ἄγων αὐτήν.* Ex Herodoto hausit Eustath. ad Il. p. 643, 2 Rom. 503 Bas.

9.

*Αἶψα δὲ Λυγκεὺς*
*Τηΰγετον προσέβαινε ποσὶν ταχέεσσι πεποιθώς,*
*ἀκρότατον δ' ἀναβὰς διεδέρκετο νῆσον ἅπασαν*

---

Fragm. VIII. Quae Herodotus narrat, cum eis pugnant quae apud Proclum (v. supra) leguntur; itaque nonnulli Herodoti, alii Procli verba spuria habuerunt. Mueller, vestigia versuum heroicorum secutus, legendum censet *εὐαέϊ τε | πνεύματι χρησάμενος λείῃ τε θαλάσσῃ.* Tres versus procudit Friedemann Comment. in Strab. I. p. 336. *χρησάμενος* poetae abiudicat Welcker.

Fragm. IX. 2. *Ταΰγετον* Schol. Pind. —

*Ταυταλίδου Πέλοπος· τάχα δ' εἴσιδε κύδιμος ἥρως*
*δεινοῖς ὀφθαλμοῖσιν ἔσω δρυὸς ἄμφω κοίλης*
*Κάστορά θ' ἱππόδαμον καὶ ἀεθλοφόρον Πολυδεύκεα·*
*νύξε δ' ἄρ'* [*ἄγχι στὰς*......

Schol. ad Pind. Nem. X, 114 *Ἀπὸ Ταϋγέτου*] *ὁ μὲν Ἀρίσταρχος ἀξιοῖ γράφειν ἥμενον, ἀκολούθως τῇ ἐν τοῖς Κυπρίοις λεγομένῃ ἱστορίᾳ· ὁ γὰρ τὰ Κύπρια συγγράψας φησὶ τὸν Κάστορα ἐν τῇ δρυῒ κρυφθέντα ὀφθῆναι ὑπὸ Λυγκέως· τῇ δὲ αὐτῇ γραφῇ καὶ Ἀπολλόδωρος*[1]) *κατηκολούθησε. πρὸς οὓς φησι Δίδυμος, ἀμφοτέρων ὑπὸ τῇ δρυῒ λοχώντων, τοῦ Κάστορος καὶ τοῦ Πολυδεύκους, μόνον ὁ Λυγκεὺς τὸν Κάστορα εἶδε*[2]) .................... *παρατίθενται δὲ καὶ τὸν τὰ Κύπρια γράψαντα οὕτω λέγοντα „Αἶψα — νύξε δ' ἄρ'.“ ὁ Κάστωρ*[3]) *ἐλόχα τὸν Ἴδαν, φησίν, ἐν κοίλῃ δρυῒ κρυφθεὶς καὶ τὸν Λυγκέα· ὁ δὲ Λυγκεὺς ὀξυδερκὴς ὤν, ὡς καὶ διὰ λίθων καὶ διὰ γῆς τὰ γινόμενα βλέπειν, ἰδὼν διὰ τῆς δρυὸς τὸν Κάστορα ἔτρωσε λόγχῃ κτλ.* Versus 1—6 laudat etiam Tzetz. Chil. II, 711—716; ad Lycophr. v. 511.

---

4. *εἴσιδεν ὄβριμος* vel *ὄμβρ.* codd. nonnulli Tzetz. Chil. II, 714. — 5. *δεινοῖς*] Sic Tzetz.; *εἰν* ed. Romana Scholl. Pind. — *ὀφθαλμοῖσιν ἔσω κοίλης δρυὸς ἡμένω ἄμφω* Heyne. Boeckhio mendum in *εἰν* situm videtur, quapropter eius loco lacunae signa posuit. Fort. *ἡμένω ὀφθ.* — *κοίλης.* — 7. V. paullo infra.

1) III, 11, 2, 4. 2) Sequitur disputatio de *ἡμένος* pro *ἡμένους* posito. Scholium mancum esse videtur. 3) Ed. Rom. *ἀγχίστωρ*, quo in verbo *ἄγχι στὰς τὸν Κάστορα* latere censet Heyne. Recepit Wolf.

10.

*Οἶνόν τοι, Μενέλαε, θεοὶ ποίησαν ἄριστον*
*θνητοῖς ἀνθρώποισιν ἀποσκεδάσαι μελεδῶνας.*

Athen. II, p. 35 C: „*Οἶνον — μελεδῶνας*", ὁ *τῶν Κυπρίων τοῦτό φησι ποιητής, ὅστις ἂν εἴη.* Hi versus praeterea inveniuntur ap. Suid. v. *οἶνος* (Vol. II, 2 p. 1275 sq. Bernh.) et Schol. ad Anthol. IV, 8 (locum inspicere non licuit); respiciunt Theogn. 883. Eustath. ad Od. p. 1623, 43 Rom. 347 Bas.

11.

Pausan. X, 26, 4 (1): *Τοῦ δὲ Ἀχιλλέως τῷ παιδὶ Ὅμηρος μὲν Νεοπτόλεμον ὄνομα ἐν ἁπάσῃ οἱ τίθεται τῇ ποιήσει· τὰ δὲ Κύπρια ἔπη φησὶν ὑπὸ Λυκομήδους μὲν Πύρρον, Νεοπτόλεμον δὲ ὄνομα ὑπὸ Φοίνικος αὐτῷ τεθῆναι, ὅτι Ἀχιλλεὺς ἡλικίᾳ ἔτι νέος πολεμεῖν ἤρξατο.*

12.

Schol. Laur. ad Soph. El. 157: *Ἢ Ὁμήρῳ*[1]) *ἀκολουθεῖ εἰρηκότι τὰς τρεῖς θυγατέρας τοῦ Ἀγαμέμνονος, ἢ ὡς ὁ τὰ Κύπρια ποιήσας*[2]), *δ*[3]) *φησὶν Ἰφιγένειαν καὶ Ἰφιάνασσαν.*

13.

*Οὐκ ἐφάμην Ἀχιλῆι χολώσειν ἄλκιμον ἦτορ*
*ὧδε μάλ' ἐκπάγλως, ἐπειὴ μάλα μοι φίλος ἦεν.*

Volumen musei Parisini ap. Letronn. in Virr. Doctt. Diario 1838 p. 322 [cf. Schneidewin Fragmm. poett. Grr.

1) Il. *I*, 144. 2) *ποιήσας* add. Brunck. 3) Sic Cod. Laur., unde ed. Rom. *τέσσαρας*, omissis vv. *Ἰφιγένειαν καὶ Ἰφιάνασσαν.* Elmsley reposuit *διαφόρους φησίν*; mihi post *φησὶν* nonnulla excidisse videntur.

Fragm. XIII. 2. *ἐγπαγλως* et *ηην* ms.

Gott. 1838 p. 15] *Εἰ Ἀγαμέμνων οὕτως ἀπέφασκεν· „Οὐκ — ἦεν"*. Cypriorum poetae vindicavit Letronn. adsentiente Schneidewin. l. l., cf. Procli epit. (supra p. 19): *Φιλοκτήτης — ἐν Λήμνῳ κατελείφθη, καὶ Ἀχιλλεὺς ὕστερος κληθεὶς διαφέρεται πρὸς Ἀγαμέμνονα.*

14.

Pausan. IV, 2, 7 (5): *Λυγκέως μὲν δὴ παῖδα οὐκ ἴσμεν γενόμενον, Ἴδα δὲ Κλεοπάτραν θυγατέρα ἐκ Μαρπήσσης, ἣ Μελεάγρῳ συνῴκησεν. ὁ δὲ τὰ ἔπη ποιήσας τὰ Κύπρια Πρωτεσιλάου φησίν, ὃς ὅτε κατὰ τὴν Τρῳάδα ἔσχον Ἕλληνες, ἀποβῆναι πρῶτος ἐτόλμησε, Πρωτεσιλάου τούτου τὴν γυναῖκα Πολυδώραν μὲν τὸ ὄνομα, θυγατέρα δὲ Μελεάγρου φησὶν εἶναι τοῦ Οἰνέως.*

15.

Schol. Vict. ad Hom. Il. *Π* 57 *πόλιν εὐτείχεα*] *τὴν Πήδασον οἱ τῶν Κυπρίων ποιηταί, αὐτὸς δὲ*[1]) *Λυρνησόν.*

16.

Eustath. ad Il. *Α* 366, p. 119, 4 sqq. Rom. 89 Bas. *Ἱστοροῦσι δέ τινες ὅτι ἐκ τῶν ὑποπλακίων Θηβῶν ἡ Χρυσηὶς ἐλήφθη οὔτε καταφυγοῦσα ἐκεῖ οὔτ' ἐπὶ θυσίαν Ἀρτέμιδος ἐλθοῦσα, ὡς ὁ τὰ Κύπρια γράψας ἔφη, ἀλλὰ πολῖτις ἤτοι συμπολῖτις Ἀνδρομάχης οὖσα.* Schol. Ven. A et minn. ad loc.: *ἔνιοι δέ φασιν ὅτι καὶ ἡ Χρυσηὶς ἐκ Θηβῶν ἐλήφθη· τῆς γὰρ*

1) Il. *Β* 690 sq.

*Χρύσης*, *φασίν*, *οὔσης πολιχνίου ἀτειχίστου καὶ εὐτελοῦς, ὡς ἐν ἀσφαλεστέρᾳ καὶ μείζονι τῇ Θήβῃ οἱ ἀπ' αὐτῆς προσερρυηκότες ἦσαν διὰ τὸν πόλεμον.* Schol. Ven. B et Lips.: *εἰς Θήβας δὲ ἤκουσα ἡ Χρυσηὶς πρὸς Ἰφινόην τὴν Ἠετίωνος ἀδελφὴν Ἄκτορος δὲ θυγατέρα, θύουσαν Ἀρτέμιδι, ἥλω ὑπὸ Ἀχιλλέως*[1]. *μεγαλοφυῶς δὲ συντέμνει* (sc. *ὁ ποιητὴς*) *τὰ περισσὰ τῶν λόγων καὶ τῶν ἱστοριῶν.*

17.

Scholl. vett. [Cod. Marc. 476] ad Lycophr. 570[2]): *Σταφύλου τοῦ υἱοῦ Διονύσου θυγάτηρ γίνεται Ῥοιώ· ταύτῃ ἐμίγη Ἀπόλλων· αἰσθόμενος δὲ ὁ Στάφυλος, ἐνέβαλεν αὐτὴν εἰς λάρνακα· καὶ ἀφῆκε κατὰ θάλατταν· ἡ δὲ προσεπελάσθη τῇ Εὐβοίᾳ καὶ ἐγέννησεν αὐτόθι περί τι ἄντρον παῖδα· ὃν Ἄνιον ὠνόμασε διὰ τὸ ἀνιαθῆναι αὐτὴν δι' αὐτόν· τοῦτον δὲ Ἀπόλλων ἤνεγκεν εἰς Δῆλον· ὃς γήμας Δωρίππην ἐγέννησε τὰς*[3]) *Οἰνοτρόπους, Οἰνώ, Σπερμώ, Ἐλαΐδα· αἷς ὁ Διόνυσος ἐχαρίσατο ὁπότε βούλονται σπέρμα λαμβάνειν* [*ὁπότε βούλοιντο, οἶνον, σπέρματα, καὶ ἔλαιον ποιεῖν καὶ λαμβάνειν κατὰ τὰς τῶν ὀνομάτων θέσεις* Tzetz.]. *Φερεκύδης δέ φησιν ὅτι ὁ Ἄνιος ἔπειθε τοὺς Ἕλληνας παραγενομένους πρὸς αὐτὸν αὐτοῦ μένειν τὰ θ̄ ἔτη· δεδόσθαι*[4]) *δὲ τοῦτο παρὰ τῷ θεῷ* [*τῶν θεῶν* Tzetz.] *τῷ δεκάτῳ δ' ἔτει πορθήσειν τὸ Ἴλιον· ὑπέσχετο δὲ αὐτοὺς ὑπὸ τῶν θυγατέρων αὐτοῦ τρα-*

---

1) Eadem narrat Schol. Ven. *A* ad Il. *A*, 18. 2) Horum Scholiorum notitiam Car. Dilthei collegae erga collegam benevolentiae debeo. 3) *τοὺς* Cod. Marc. 4) *δεδόσθω* Cod. Marc.

φήσεσθαι· ἔστι δὲ τοῦτο καὶ παρὰ τοῖς τὰ Κύπρια πεποιηκόσι. Ad v. 581: Αἱ Οἰνοτρόποι ἐκαλοῦντο Οἰνώ, Σπερμώ, Ἐλαΐς· αὗται ἔλαβον παρὰ Διονύσου δῶρον, ἵνα ὅτε θελήσουσι καρπὸν τρυγῶσι, καὶ ἡ μὲν Οἰνὼ τὸν οἶνον ἐποίει, ἡ δὲ Σπερμὼ τὰ σπέρματα, τὸ ἔλαιον δὲ ἡ Ἐλαΐς. αὗται δὲ τοὺς Ἕλληνας λιμώττοντας ἐλθοῦσαι εἰς Τροίαν διέσωσαν. Tzetz. ad v. 581: Ἀγαμέμνων, τῶν Ἑλλήνων λιμῷ συνεχομένων, μετεπέμψατο τὰς Οἰνοτρόπους διὰ τοῦ Παλαμήδους, καὶ ἐλθοῦσαι εἰς τὸ Ῥοίτειον, ἔτρεφον αὐτούς.

18.

Pausan. X, 31, 2 (1): Παλαμήδην δὲ ἀποπνιγῆναι προελθόντα ἐπὶ ἰχθύων θήραν, Διομήδην δὲ τὸν ἀποκτείναντα εἶναι καὶ Ὀδυσσέα ἐπιλεξάμενος ἐν ἔπεσιν οἶδα τοῖς Κυπρίοις.

19.

Pausan. X, 26, 1: Λέσχεως δὲ καὶ ἔπη τὰ Κύπρια διδόασιν Εὐρυδίκην γυναῖκα Αἰνείᾳ.

20.

Ζῆνα δὲ τόν θ' ἕρξαντα, καὶ ὃς τάδε πάντ' ἐφύτευσεν,
οὐκ ἐθέλεις εἰπεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

Plat. Euthyphr. p. 12 *A*: λέγω γὰρ δὴ τὸ ἐναντίον ἢ ὁ ποιητὴς ἐποίησεν ὁ ποιήσας „Ζῆνα — αἰδώς", ubi Schol.: ἵνα περ δέος, ἔνθα καὶ αἰδώς, ἐπὶ τῶν κατὰ φόβον ἐπιεικῶν. εἴρηται δὲ ἐκ τῶν Στασίνου Κυ-

---

Fragm. XX. 1. τὸν ῥέξαντα Stob. Apostol. Schol. ap. Cram. — 2. ἐθέλειν εἴκειν Schol. ap. Cram.

πρίων. Cf. Schol. Plat. e Cod. Par. 1045 ap. Cram. An. Par. I. p. 399 sq., locum integrum laudantem. Affertur etiam a Stobaeo Floril. XXXI, 18 [Vol. II p. 31 Gaisf. ed. Lips.] Apostol. X, 50 Pant. (= Mantissa Proverb. I, 71 ap. Leutsch. [Vol. II p. 755]). Verba *ἵνα — αἰδώς* citant Plut. Cleom. Cap. 9. Diogenian. V, 30. Apostol. IX. 6 [II p. 463 L.]; cf. Schol. Soph. Ai. 1074: *Καὶ Ἐπίχαρμος. ἔνθα δέος, ἐνταῦθα καὶ αἰδώς.*

21.

*Τῷ δ' ὑποκυσαμένη τέκε Γοργόνας, αἰνὰ πέλωρα,*
*αἳ Σαρπηδόνα ναῖον ἐν ὠκεανῷ βαθυδίνῃ,*
*νῆσον πετρήεσσαν.*

Herodian. περὶ μον. λέξ. p. 9 [II p. 914 Lentz.]: *Καὶ ἡ νῆσος* (sc. *Σαρπηδών*) *ἰδίως ἐν Ὠκεανῷ Γοργόνων οἰκητήριον οὖσα, ὡς ὁ τὰ Κύπρια φησί „Τῷ — πετρήεσσαν".*

22.

*Νήπιος, ὃς πατέρα κτείνας παῖδας καταλείπει.*

Clem. Alex. Strom. VI, p. 265 (625 A) Sylb. 747 Pott.: *Πάλιν Στασίνου ποιήσαντος „Νήπιος — καταλείπει".* Sine auctoris nomine afferunt Aristot. Rhet. I, 15 (p. 1376ᵃ 6). II. 21 (p. 1395ᵃ 16). Polyb. XXIV, 8 (= XXIII, 10 p. 1122 Hultsch.). Suid. v. *νήπιος* et *Φίλιππος ὁ Μακεδών.*

---

Fragm. XXI. „Haec omnia in his hexametris debentur Dindorfio, praeter αἳ, quod Henrichsen de carm. Cypr. p. 71 restituendum vidit." Lehrs. — 1. δεινὰ cod. — 2. καὶ Σαρπ. cod. — ἐν Lehrs; ἐπ' cod. — 3. ἢ νῆσον cod.

Fragm. XXII. Welcker et K. O. Müller Arctino tribuunt. κτείνας Aristot. utroque loco Suid. Polyb.; κτείνων Clem. — παῖδας] υἱοὺς Polyb. Suid. codd. nonnulli Aristotelis Rhet. I. 15.

## Fragmenta dubia.

[23.]

Cram. An. Oxon. I p. 277: *Μοῦσα*] *Ἀπὸ μιᾶς αἱ πᾶσαι λέγονται· Μνασέας*[1]) *δέ φησιν ὅτι αἱ πᾶσαι τρεῖς εἰσίν, Μοῦσα, Θεά, Ὑμνώ· ἐν μὲν οὖν Ἰλιάδι μεμνῆσθαι τῆς Θεᾶς· „μῆνιν ἄειδε Θεά", ἐν δὲ Ὀδυσσείᾳ τῆς Μούσας· „ἄνδρα μοι ἔννεπε Μοῦσα", ἐν δὲ τῇ Παλαμηδείᾳ τῆς Ὑμνοῦς.*

Extremam carminum Cypriorum partem Palamedeam nominatam esse sententia est Welckeri (Cycl. ep. I. p. 459. cf. II. p. 518) comprobante Schneidewin. Poett. grr. fragmm. p. 15—18.

[24.]

Schol. Ven. A ad Hom. Il. Ω 257: [*Ἡ διπλῆ,*] *ὅτι ἐκ τοῦ εἰρῆσθαι ἱππιοχάρμην τὸν Τρωίλον οἱ νεώτεροι ἐφ' ἵππου διωκόμενον αὐτὸν ἐποίησαν. καὶ οἱ μὲν παῖδα αὐτὸν ὑποτίθενται, Ὅμηρος δὲ διὰ τοῦ ἐπιθέτου τέλειον ἄνδρα ἐμφαίνει· οὐ γὰρ ἄλλος ἱππόμαχος λέγεται.* Ad Cypria pertinere censet Welcker.

[25.]

Schol. ad Eur. Hec. 41, cf. infra p. 52 ad Ilii persidem.

## AETHIOPIS.

*Πρόκλου χρηστομαθείας γραμματικῆς τὸ β'*[2]). *Ἐπιβάλλει δὲ τοῖς προειρημένοις ἐν τῇ πρὸ ταύτης*

1) Cf. Arnob. III. 37. 2) Cod. Marc. 454 fol. 6r [v. supra p. 16 not. 2]. Fol. sextum ante quartum (v. infra) collocandum esse

βίβλῳ[1]) Ἰλιὰς Ὁμήρου· μεθ' ἥν ἐστιν Αἰθιοπίδος βιβλία ε' Ἀρκτίνου Μιλησίου, περιέχοντα τάδε. Ἀμαζὼν Πενθεσίλεια παραγίνεται Τρωσὶ συμμαχήσουσα, Ἄρεως μὲν θυγάτηρ, Θρᾷσσα[2]) δὲ τὸ γένος· καὶ κτείνει αὐτὴν ἀριστεύουσαν Ἀχιλλεύς, οἱ δὲ Τρῶες αὐτὴν θάπτουσι. καὶ Ἀχιλλεὺς Θερσίτην ἀναιρεῖ, λοιδορηθεὶς πρὸς αὐτοῦ καὶ ὀνειδισθεὶς τὸν ἐπὶ τῇ Πενθεσιλείᾳ λεγόμενον ἔρωτα· καὶ ἐκ τούτου στάσις γίνεται τοῖς Ἀχαιοῖς περὶ τοῦ Θερσίτου φόνου. μετὰ δὲ ταῦτα Ἀχιλλεὺς εἰς Λέσβον πλεῖ, καὶ θύσας Ἀπόλλωνι καὶ Ἀρτέμιδι καὶ Λητοῖ καθαίρεται τοῦ φόνου ὑπ' Ὀδυσσέως. Μέμνων δὲ ὁ Ἠοῦς υἱὸς ἔχων ἡφαιστότευκτον[3]) πανοπλίαν παραγίνεται τοῖς Τρωσὶ βοηθήσων· καὶ Θέτις τῷ παιδὶ τὰ κατὰ τὸν Μέμνονα προλέγει. καὶ συμβολῆς γενομένης Ἀντίλοχος ὑπὸ Μέμνονος ἀναιρεῖται, ἔπειτα Ἀχιλλεὺς Μέμνονα κτείνει· καὶ τούτῳ μὲν Ἠὼς παρὰ Διὸς αἰτησαμένη ἀθανασίαν δίδωσι. τρεψάμενος δ' Ἀχιλλεὺς τοὺς Τρῶας καὶ εἰς τὴν πόλιν συνεισπεσὼν ὑπὸ Πάριδος ἀναιρεῖται καὶ

---

viderunt Heyne in Bibl. litt. artisque vett. Fasc. I. Ined. p. 32 et Thiersch. Act. Monac. II p. 587. — Epitomen hanc apographo a Siebenkeesio facto usus primum edidit Heyne l. l., post eum Gaisford append. ad Hephaest. p. 477—479 [528—530 ed. Lips. 1832] Welck. alii; nuperrime Michaelis ap. Jahn „Bilderchron." p. 111 et Dindorf in Schol. ad Il. I. p. XXXVI sq. — πρόκλου χρηστομαθίας γραμματικῆς τὸ δεύτερον αιθιόπιδος (sic) ε̄ ἀρκτίνου cod.

1) ἐν — βίβλῳ delent Dunn in Diar. Antiq. 1844 p. 781 Welck. Cycl. ep. II p. 523. — 2) θράσα cod.; corr. Heyne. 3) Ad descriptionem scuti uberiorem spectat; cf. Welck. Cycl. ep. II. 173 et librum quem auctor a. 1872 edidit „Euripides et ars graeca" p. 85 Not. 99, ubi add. Schol. ad Apoll. Rhod. I. 224. Apollodor. I, 4, 4. III, 4, 2, 3.

*Ἀπόλλωνος· καὶ περὶ τοῦ πτώματος*[1]) *γενομένης ἰσχυρᾶς μάχης Αἴας ἀνελόμενος ἐπὶ τὰς ναῦς κομίζει, Ὀδυσσέως ἀπομαχομένου τοῖς Τρωσίν. ἔπειτα Ἀντίλοχόν τε θάπτουσι καὶ τὸν νεκρὸν τοῦ Ἀχιλλέως προτίθενται· καὶ Θέτις ἀφικομένη σὺν Μούσαις καὶ ταῖς ἀδελφαῖς θρηνεῖ τὸν παῖδα· καὶ μετὰ ταῦτα ἐκ τῆς πυρᾶς ἡ Θέτις ἀναρπάσασα τὸν παῖδα εἰς τὴν Λευκὴν νῆσον διακομίζει. οἱ δὲ Ἀχαιοὶ τὸν τάφον χώσαντες ἀγῶνα τιθέασι, καὶ περὶ τῶν Ἀχιλλέως ὅπλων Ὀδυσσεῖ καὶ Αἴαντι στάσις ἐμπίπτει.*

Inscriptio in tabula olim Veronensi, nunc Parisina. Ediderunt Maffei Mus. Veron. p. CCCCLXVIII. Franz in Corp. Inscr. Gr. 6126 B. Welcker Cycl. ep. II. p. 524. Jahn „Bilderchron.“ Tab. III. D$^1$. [cf. p. 67.] *Πενθεσίλεια Ἀμαζὼν παραγίνεται. Ἀχιλλεὺς Πενθεσίλειαν ἀποκτείνει. Μέμνων Ἀντίλοχον ἀποκτείνει. Ἀχιλλεὺς Μέμνονα ἀποκτείνει. ἐν ταῖς Σκαιαῖς πύλαις Ἀχιλλεὺς ὑπὸ [Πάριδος ἀναιρεῖται].*

1.

Ὣς οἵ γ' ἀμφίεπον τάφον Ἕκτορος· ἦλθε δ' Ἀμαζών,
Ἄρηος θυγάτηρ μεγαλήτορος ἀνδροφόνοιο.

Schol. Vict. ad Il. Ω, 804: *Τινὲς γράφουσιν* „*Ὣς — ἀνδροφόνοιο*“.[2])

2.

Schol. ad Pind. Isthm. III, 53 [olim IV, 58 (35)] p. 534 Boeckh. *ἴστε μὰν Αἴαντος ἀλκάν*] *ὁ γὰρ τὴν Αἰθιοπίδα γράφων*[3]) *περὶ τὸν ὄρθρον φησὶ τὸν Αἴαντα ἑαυτὸν ἀνελεῖν.*

---

1) *σώματος* coni. Schubart in Ephem. litt. Hal. 1840 Vol. I p. 517. 2) V. Müller Litt. graec. hist. I p. 113. 3) leg. *γεγραφώς*.

3.

*Αὐτὸς γάρ σφιν ἔδωκε πατὴρ γέρα Ἐννοσίγαιος*
*ἀμφοτέροις, ἕτερον δ' ἑτέρου κυδίον' ἔθηκε·*
*τῷ μὲν κουφοτέρας χεῖρας πόρεν ἔκ τε βέλεμνα*
*σαρκὸς ἑλεῖν τμῆξαί τε καὶ ἕλκεα πάντ' ἀκέσασθαι,*
*τῷ δ' ἄρ' ἀκριβέα πάντ' εἰνὶ στήθεσσιν ἔθηκεν*
*ἄσκοπά τε γνῶναι καὶ ἀναλθέα ἰήσασθαι·*
*ὅς ῥα καὶ Αἴαντος πρῶτος μάθε χωομένοιο*
*ὄμματά τ' ἀστράπτοντα βαρυνόμενόν τε νόημα.*

Schol. Ven. *B.* Vict. Lips. ad Hom. Il. *Λ* 515: *Ἔνιοι δέ φασιν ὡς οὐδὲ ἐπὶ πάντας τοὺς ἰατροὺς ὁ ἔπαινος οὗτός ἐστι κοινός, ἀλλὰ τὸν Μαχάονα μόνον χειρουργεῖν ἐθέλουσι· τὸν γὰρ Ποδαλείριον διαιτᾶσθαί φασι τὰς νόσους. καὶ τεκμήριον, ὅτι Ἀγαμέμνων τρωθέντος Μενελάου οὐ Ποδαλείριον καλεῖ, ἀλλὰ τὸν Μαχάονα. τοῦτο ἔοικε καὶ Ἀρκτῖνος ἐν Ἰλίου πορθήσει νομίζειν ἐν οἷς φησίν „Αὐτὸς — νόημα“.* Eustath. ad loc. p. 859, 41 sqq. Rom. 802 sq. Bas. *Τινὲς δὲ τὸν Μα-*

Fragm. III., quod ex Arctini Ilii perside depromptum esse affirmat Scholiasta (et post eum Eustath.), ad Aethiopidem referendum esse vidit Welcker. Quum editio poematum Arctini in unum corpus redactorum circumferretur, auctores veteres si qui versus poetae illius occurrebant, ignari quo loco essent collocandi, modo Aethiopidi modo Troiae excidio assignasse videntur. — 1, 2. *πατὴρ ἐνοσίγαιος πεσεῖν ἀμφοτέροις* Codd. Scholl. — Heyne ci. *παισίν*. Verisimile est falsum illud *πεσεῖν* a *παισὶν* originem duxisse; sed *παισίν* nihil est nisi glossa verbo *ἀμφοτέροις* adscripta. — *γέρα* inseruit Duebner. *Ἐννοσίγαιος* def. Schubart in Ephem. litt. Hal. 1840. Vol. I, p. 519 et Koechly Diar. Antiq. VIII (1841) p. 735, vehementer impugnat Welcker, qui *πατὴρ νουσήλια παισίν* coni. — 5. *πάντ' ἐνὶ* Codd. Scholl. Eust. *πάντ' εἰνὶ* Welck. *πάντα ἐνὶ* Duebner. — 6. *ἰάσασθαι* Scholl. *ἀναλθέ' οἴσασθαι* Eust. — 8. *ὄμματά τ'*] *ὄμματ'* Eust.

χάονα μὲν χειρουργεῖν ἐθέλουσι, Ποδαλείριον δέ, στρατιώτην ὄντα καὶ αὐτόν, ὡς ἀλλαχοῦ δηλώσει ὁ ποιητής, ἀσκεῖν τὰ περὶ δίαιταν. τεκμήριον δὲ ὁ βασιλεὺς εἰς θεραπείαν τοῦ Μενελάου βληθέντος καλέσας τὸν Μαχάονα, οὐ μὴν τὸν Ποδαλείριον· μαρτυρεῖ δὲ καὶ τὰ ἱστορούμενα ἔπη τὰ ἐπὶ τῇ Τρωικῇ πορθήσει, ἐν οἷς φέρεται περὶ Ποδαλειρίου καὶ Μαχάονος, ὡς ἄμφω μὲν Ποσειδῶνος ἦσαν, ἕτερον δ' ἑτέρου κυδίον' ἔθηκεν, ὁ Ποσειδῶν δηλαδή, „τῷ μὲν κουφοτέρας — νόημα".

---

## ILIAS PARVA.

Procl.[1]) Ἑξῆς δ' ἐστὶν Ἰλιάδος μικρᾶς βιβλία τέσσαρα Λέσχεω Μιτυληναίου[2]) περιέχοντα[3]) τάδε. Ἡ τῶν ὅπλων κρίσις γίνεται καὶ Ὀδυσσεὺς κατὰ βούλησιν Ἀθηνᾶς λαμβάνει, Αἴας δ' ἐμμανὴς γενόμενος τήν τε λείαν τῶν Ἀχαιῶν λυμαίνεται καὶ ἑαυτὸν ἀναιρεῖ. μετὰ ταῦτα Ὀδυσσεὺς λοχήσας Ἕλενον λαμβάνει, καὶ χρήσαντος περὶ τῆς ἁλώσεως τούτου Διομήδης[4]) ἐκ Λήμνου Φιλοκτήτην ἀνάγει. ἰαθεὶς δὲ οὗτος ὑπὸ Μαχάονος καὶ μονομαχήσας Ἀλεξάνδρῳ κτείνει· καὶ τὸν νεκρὸν ὑπὸ Μενελάου καταικισθέντα ἀνελόμενοι θάπτουσιν οἱ Τρῶες. μετὰ δὲ ταῦτα Δηίφοβος Ἑλένην γαμεῖ. καὶ Νεοπτόλεμον Ὀδυσσεὺς ἐκ Σκύρου ἀγα-

---

1) Cod. Marc. 454 fol. 6r. Cf. ad Aethiopidem (supra p. 32 not. 2.) — Heyne p. 35—37 = Gaisf. p. 481 sq. [531 sq. Lips.] = Michaelis p. 111 = Dind. Scholl. Il. Vol. I p. XXXVII sq. Vol. I p. XXXVII sq.. — Inscriptio: *ἰλιάδος μικρᾶς δ' λέσχεω·*
2) *Μυτιληναίου* Heyne. — 3) *περιέχοντα* Siebenkees; *περίεχον* cod. 4) *σὺν Ὀδυσσεῖ* excidisse putat Welcker Cycl. ep. II p. 238.

γῶν τὰ ὅπλα δίδωσι τὰ τοῦ πατρός· καὶ Ἀχιλλεὺς αὐτῷ φαντάζεται. Εὐρύπυλος δὲ ὁ Τηλέφου ἐπίκουρος[1]) τοῖς Τρωσὶ παραγίνεται, καὶ ἀριστεύοντα αὐτὸν ἀποκτείνει Νεοπτόλεμος. καὶ οἱ Τρῶες πολιορκοῦνται· καὶ Ἐπειὸς κατ' Ἀθηνᾶς προαίρεσιν τὸν δούρειον ἵππον κατασκευάζει· Ὀδυσσεύς τε αἰκισάμενος ἑαυτὸν κατάσκοπος εἰς Ἴλιον παραγίνεται, καὶ ἀναγνωρισθεὶς ὑφ' Ἑλένης περὶ τῆς ἁλώσεως τῆς πόλεως συντίθεται, κτείνας τέ τινας τῶν Τρώων ἐπὶ τὰς ναῦς ἀφικνεῖται. καὶ μετὰ ταῦτα σὺν Διομήδει τὸ παλλάδιον ἐκκομίζει ἐκ τῆς Ἰλίου. ἔπειτα εἰς τὸν δούρειον ἵππον τοὺς ἀρίστους ἐμβιβάσαντες τάς τε σκηνὰς καταφλέξαντες οἱ λοιποὶ τῶν Ἑλλήνων εἰς Τένεδον ἀνάγονται· οἱ δὲ Τρῶες τῶν κακῶν ὑπολαβόντες ἀπηλλάχθαι τόν τε δούρειον ἵππον εἰς τὴν πόλιν εἰσδέχονται, διελόντες μέρος τι τοῦ τείχους, καὶ εὐωχοῦνται ὡς νενικηκότες τοὺς Ἕλληνας.

Aristot. Poet. 23 p. 1459$^{a}$ 30: καὶ ταύτῃ θεσπέσιος ἂν φανείη Ὅμηρος παρὰ τοὺς ἄλλους, τῷ μηδὲ τὸν πόλεμον, καίπερ ἔχοντα ἀρχὴν καὶ τέλος, ἐπιχειρῆσαι ποιεῖν ὅλον· λίαν γὰρ ἂν μέγας καὶ οὐκ εὐσύνοπτος ἔμελλεν ἔσεσθαι· ἢ τῷ μεγέθει μετριάζοντα καταπεπλεγμένον τῇ ποικιλίᾳ. νῦν δ' ἓν μέρος ἀπολαβὼν ἐπεισοδίοις κέχρηται αὐτῶν πολλοῖς, οἷον νεῶν καταλόγῳ καὶ ἄλλοις ἐπεισοδίοις, οἷς διαλαμβάνει τὴν ποίησιν. οἱ δ' ἄλλοι περὶ ἕνα ποιοῦσι καὶ περὶ ἕνα χρόνον, καὶ μίαν πρᾶξιν πολυμερῆ, οἷον ὁ τὰ Κύπρια ποιήσας καὶ τὴν μικρὰν Ἰλιάδα. τοιγαροῦν ἐκ μὲν

1) Incipit fol. 6$^{v}$.

*Ἰλιάδος καὶ Ὀδυσσείας μία τραγῳδία ποιεῖται ἑκατέρας ἢ δύο μόναι, ἐκ δὲ Κυπρίων πολλαί, καὶ ἐκ τῆς μικρᾶς Ἰλιάδος πλέον ὀκτώ, οἷον ὅπλων κρίσις, Φιλοκτήτης, Νεοπτόλεμος, Εὐρύπυλος, πτωχεία, Λάκαιναι, Ἰλίου πέρσις καὶ ἀπόπλους καὶ Σίνων καὶ Τρῳάδες.*

Poeta a plurimis *Λέσχης* nominatur, a Pausania semper *Λέσχεως*. Pausan. X, 25, 5 (3): *Λέσχεως ὁ Αἰσχυλίνου*[1]) *Πυρραῖος*. Tabula Iliaca: *Ἰλιὰς ἡ μικρὰ λεγομένη κατὰ Λέσχην Πυρραῖον*. Clem. Alex. Strom. I p. 144 (333 A) Sylb. 397 sq. Pott. *Φανείας δὲ πρὸ Τερπάνδρου τιθεὶς Λέσχην τὸν Λέσβιον Ἀρχιλόχου νεώτερον φέρει τὸν Τέρπανδρον, διημιλλῆσθαι δὲ τὸν Λέσχην Ἀρκτίνῳ καὶ νενικηκέναι.*

Schol. Vat. ad Eurip. Troad. 821: *Τὸν Γανυμήδην καθ' Ὅμηρον Τρωὸς ὄντα παῖδα Λαομέδοντος νῦν εἶπεν ἀκολουθήσας τῷ τὴν μικρὰν Ἰλιάδα πεποιηκότι, ὃν οἱ μὲν Θεστορίδην Φωκέα φασίν, οἱ δὲ Κιναίθωνα Λακεδαιμόνιον, ὡς Ἑλλάνικος, οἱ δὲ Διόδωρον Ἐρυθραῖον.* Cf. Tzetz. Exeg. in Il. p. 45.

Pseudo-Herod. Vit. Homer. § 15 sq.: *Ἐν δὲ τῇ Φωκαίῃ .... Θεστορίδης τις ἦν γράμματα διδάσκων τοὺς παῖδας, ἀνὴρ οὐ κρήγυος. κατανοήσας δὲ τοῦ Ὁμήρου τὴν ποίησιν λόγους τοιούσδ' αὐτῷ προσήνεγκε, φὰς ἕτοιμος εἶναι θεραπεύειν καὶ τρέφειν αὐτὸν ἀναλαβών, εἰ ἐθέλοι ἅ γε πεποιημένα εἴη αὐτῷ τῶν ἐπέων ἀναγράψαι καὶ ἄλλα ποιῶν πρὸς ἑωυτὸν ἀναφέρειν αἰεί. τῷ δ' Ὁμήρῳ ἀκούσαντι ἔδοξε ποιητέα εἶναι ταῦτα· ἐνδεὴς γὰρ ἦν τῶν ἀναγκαίων καὶ θεραπείης. διατρί-*

1) Cf. infra ad Fragm. 12.

βων δὲ παρὰ τῷ Θεστορίδῃ ποιεῖ Ἰλιάδα τὴν ἐλάσσω (cf. Fragm. 1).

---

1.

Ἴλιον ἀείδω καὶ Δαρδανίην εὔπωλον,
ἧς πέρι πολλὰ πάθον Δαναοὶ θεράποντες Ἄρηος.

Pseudo-Herod. Vita Homeri § 16: διατρίβων δὲ (ὁ Ὅμηρος) παρὰ τῷ Θεστορίδῃ ποιεῖ Ἰλιάδα τὴν ἐλάσσω, ἧς ἡ ἀρχή· „Ἴλιον — Ἄρηος“.

2.

Αἴας μὲν γὰρ ἄειρε καὶ ἔκφερε δηιοτῆτος
ἥρω Πηλείδην, οὐδ' ἤθελε δῖος Ὀδυσσεύς.
Πῶς ἐπεφωνήσω; πῶς οὐ κατὰ κόσμον ἔειπες;
Καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη·
[ἀλλ' οὐκ ἂν μαχέσαιτο.]

Aristoph. Eq. 1056 sq.: *Καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη. ἀλλ' οὐκ ἂν μαχέσαιτο* (v. 4, 5)· χέσαιτο γάρ, εἰ μαχέσαιτο. Ubi Schol.: Ἡ ἱστορία τοῦτον τὸν τρόπον ἔχει. ὅτι διεφέροντο περὶ τῶν ἀριστείων ὅ τε Αἴας καὶ ὁ Ὀδυσσεύς, ὥς φησιν ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκώς. τὸν Νέστορα δὲ συμβουλεῦσαι τοῖς Ἕλλησι πέμψαι τινὰς ἐξ αὐτῶν ὑπὸ τὰ τείχη τῶν Τρώων ὠτακουστήσοντας περὶ τῆς ἀνδρείας τῶν προειρημένων ἡρώων. τοὺς δὲ πεμφθέντας ἀκοῦσαι παρθένων διαφερομένων πρὸς ἀλλήλας,

---

Fragm. II. 3. *τί σφ' ἐπεμωμήσω; ἐπεὶ οὐ* Hermann Opusc. VII, p. 363. — 5. Verba *ἀλλ' — μαχέσαιτο* num huc pertineant, incertum. Delent plurimi; poetae vindicat Herm. l. l.

ὧν τὴν μὲν λέγειν ὡς ὁ Αἴας πολὺ κρείττων ἐστὶ τοῦ Ὀδυσσέως, διερχομένην οὕτως „Αἴας — Ὀδυσσεύς“ (v. 1, 2). τὴν δ' ἑτέραν ἀντειπεῖν Ἀθηνᾶς προνοίᾳ· „πῶς — ἔειπες“ (v. 3) ψεῦδος; (ψεῦδος del. Wolf.) τοῦτο δέ, ἵνα δείξῃ ὡς Δημοσθένους, οὐ τοῦ Κλέωνος τὸ κατόρθωμα. — Ἄλλως. τοῦτο ἐκ τοῦ κύκλου ἀφείλκυσται. λέγεται δὲ ἀπὸ τῶν Τρῳάδων, κρινουσῶν τὸν Αἴαντα καὶ τὸν Ὀδυσσέα. λέγεται δέ, ὅτι οὐ τὸ τοῦ Αἴαντος ἔργον, ἀλλὰ τὸ τοῦ Ὀδυσσέως.

3.

Eustath. ad Il. p. 285, 34 Rom. 216 Bas. Ὁ τὴν μικρὰν Ἰλιάδα γράψας ἱστορεῖ μηδὲ καυθῆναι συνήθως τὸν Αἴαντα, τεθῆναι δὲ οὕτως ἐν σορῷ διὰ τὴν ὀργὴν τοῦ βασιλέως.

4.

Πηλείδην δ' Ἀχιλῆα φέρε Σκῦρόνδε θύελλα,
ἔνθ' ὅ γ' ἐς ἀργαλέον λιμέν' ἵκετο νυκτὸς ἐκείνης.

Schol. Ven. (*B*) ad Il. *T*, 326: Σκύρῳ] Ὁ δὲ τὴν μικρὰν Ἰλιάδα γράψας[1]) (φησὶν) ἀναζευγνύντα αὐτὸν (sc. τὸν Ἀχιλλέα) ἀπὸ[2]) Τηλέφου[3]) προσορμισθῆναι ἐκεῖ· „Πηλείδην — ἐκείνης“. Eadem fere habent Eustath. ad loc. p. 1187, 16 sqq. Rom. 1255 Bas. Schol. Paris. ap. Cram. An. Par. III, p. 26[4]).

---

Fragm. IV. 2. ἀργαλέον? fort. ἀσπάσιον.
1) γράψας addidi ex Eustathio. 2) ἐκ Eust. 3) τοῦ Μυσοῦ add. Eustath. — 4) v. 1 tantum affert Schol. Par.

5.

Ἀμφὶ δὲ πόρκης
χρύσεος ἀστράπτει καὶ ἐπ' αὐτῷ δίκροος ἄρδις.

Schol. ad Pind. Nem. VI, 85: Οὐκ ἐκ παραδρομῆς δὲ ζάκοτον εἶπε τὸ δόρυ τοῦ Ἀχιλλέως, ὡσανεὶ μείλινον ἤ τι τοιοῦτον αὐτὸ ἔφη ἐν κοινότητι, ἀλλ' ὅτι ἰδιώτερον παρὰ τὰ ἄλλα κατεσκεύαστο. δίκρουν γάρ, ὥστε δύο ἀκμὰς ἔχειν, καὶ μιᾷ βολῇ ὥστε δισσὰ τὰ τραύματα ἀπεργάζεσθαι. καὶ Αἰσχύλος ἐν Νηρεΐσι· κάμακος εἶσιν κάμακος γλώσσημα διπλάσιον. καὶ Σοφοκλῆς ἐν Ἀχιλλέως ἐρασταῖς· ἣ δορὸς διχόστομον πλᾶκτρον· δίπτυχοι γὰρ ὀδύναι μιν ἤρικον Ἀχιλληίου δόρατος. μετάγουσι δὲ τὴν ἱστορίαν ἀπὸ τῆς Λέσχου μικρᾶς Ἰλιάδος λέγοντος οὕτως „ἀμφὶ — δίκροος δίη". Schol. Vict. ad Hom. Il. Π, 142 πάλλειν — Πηλιάδα μελίην] Οἱ δὲ πλάττονται λέγοντες ὅτι Πηλεὺς μὲν παρὰ Χείρωνος ἔμαθε τὴν χρῆσιν αὐτῆς, Ἀχιλλεὺς δὲ παρὰ Πηλέως. ὁ δὲ οὐδένα ἐδίδαξε. καὶ ὁ τῆς μικρᾶς Ἰλιάδος ποιητὴς „ἀμφὶ — δίκροος αἰχμή". Cf. Schol. Townl. ap. Cramer. Anecd. Par. III p. 286.

6.

Ἄμπελον, ἣν Κρονίδης ἔπορεν οἱ παιδὸς ἄποινα
χρυσείην φύλλοισιν ἀγανοῖσι κομόωσαν

---

Fragm. V. 2. ἄρδις] δίη Codd. Schol. Pind.; αἰχμή, quod ci. Heyne ad Verg. Aen. II exc. I, exhibet Schol. Vict. ad Il.; αἰχμῆς Schol. Townl. ap. Cram.; ἄρδις Scaliger ad Euseb. Chron. p. 82. Cf. Herod. IV, 81. Aesch. Prom. 880 Dind.

Fragm. VI. 1. οἱ Nitzsch ad Od. III p. 292; οὗ vulgo. — 2. χρυσείην] Sic Schol. Orest.; χρυσείοις Schol. Troad. —

*βότρυσί θ', οὓς Ἥφαιστος ἐπασκήσας Διὶ πατρὶ*
*δῶχ', ὃ δὲ Λαομέδοντι πόρεν Γανυμήδεος ἀντί.*

Schol. Vat. ad Eur. Troad. 821 *Λαομεδόντιε παῖ*] *Τὸν Γανυμήδην καθ' Ὅμηρον Τρωὸς ὄντα παῖδα Λαομέδοντος νῦν εἶπεν ἀκολουθήσας τῷ τὴν μικρὰν Ἰλιάδα πεποιηκότι, ὃν οἱ κτλ.* (cf. supra p. 38). *φησὶ δὲ οὕτως „ἄμπελον — ἀντί"*. Schol. ad Eur. Orest. 1392 (II p. 305 Dind.): *Τινὲς οὐχ ἵππους, ἀλλὰ χρυσῆν ἄμπελόν φασι δεδόσθαι ὑπὲρ Γανυμήδους, καθάπερ ἐν κύκλῳ λέγει*[1]) *„ἄμπελον — ἀντί"*. Cf. Schol. ad Hom. Od. λ, 521.

7.

Pausan. III, 26, 9 (7): *Μαχάονα δὲ ὑπὸ Εὐρυπύλου τοῦ Τηλέφου τελευτῆσαί φησιν ὁ τὰ ἔπη ποιήσας τὴν μικρὰν Ἰλιάδα.*

8.

Schol. vett. ad Lycophr.[2]) 780: *σφραγὶς μενεῖ Θόαντος*] *ὁ τὴν μικρὰν Ἰλιάδα γράψας φησὶ τρωθῆναι τὸν Ὀδυσσέα ὑπὸ Θόαντος ὅτε εἰς Τροίαν ἀνήρχοντο*[3]). Eadem narrat Tzetz. ad loc.

---

*ἀγανοῖσι* Schol. Eur. utroque loc. [*ἀγαννοῖσιν* Barnes]. Locus coruptus. *ἀγαννοῖσιν* tuetur Welck. Cycl. ep. II p. 534 sq.; improbat Osann, qui (auctar. lex. gr.) *ἀγαυροῖσιν* coni.; *ἀγανοῖσιν* Jortin Tracts II p. 384, G. Schneider; *χρυσείην φύλλοισιν, ἰανθέσι* (vel *ἅμ' ἄνθεσι*) *καὶ κομόωσαν* Lobeck, *χρ. φύλλοισι παναργυρέοις κομ.* Hermann Opusc. V p. 185. — 3. *θ'* om. Schol. Orest. — 3 sq. *ἐπασκήσας πατρὶ δῶκεν,* | *αὐτὰρ ὃ Λαομ.* Schol. Orest.

1) Excidit nomen poetae. Alii *λέγεται*. 2) Cf. supra p. 29 not. 2. — 3) *δυσμενεῖς* add. Tzetz.

9.

Hesych. v. *Διομήδειος ἀνάγκη: παροιμία. Κλέαρχος μέν φησι, Διομήδους θυγατέρας γενέσθαι πάνυ μοχθηράς, αἷς ἀναγκάζειν πλησιάζειν τινάς, καὶ εὐθὺς αὐτοὺς φονεύειν· ὁ δὲ τὴν μικρὰν Ἰλιάδα* .......[1]) *φησί, ἐπὶ τῆς τοῦ Παλλαδίου κλοπῆς γενέσθαι.*

10.

Schol. Harl. ad Hom. Od. *δ*, 285 *Ἔνθ' ἄλλοι μὲν πάντες*] *Ἀρίσταρχος τοὺς ε' ἀθετεῖ, ἐπεὶ ἐν Ἰλιάδι οὐ μνημονεύει Ἀντίκλου ὁ ποιητής* .......... *Ὁ Ἄντικλος ἐκ τοῦ κύκλου. οὐκ ἐφέροντο δὲ σχεδὸν ἐν πάσαις οἱ πέντε*[2]).

11.

*Νὺξ μὲν ἔην μέσση, λαμπρὴ δ' ἐπέτελλε σελήνη.*

Tzetz. ad Lycophr. 344: *Τότε δὲ τῶν Τρώων κατελθόντων καὶ ἀπατηθέντων δόλοις τοῦ Σίνωνος καὶ ἑλκυσάντων τοῦτον περὶ τὴν πόλιν καὶ μέθῃ καὶ χαρᾷ καὶ ὕπνῳ συσχεθέντων, αὐτὸς ὁ Σίνων, ὡς ἦν αὐτῷ συντεθειμένον, φρυκτὸν ὑποδείξας τοῖς Ἕλλησιν,*

---

1) „*συνθείς* supplet Toup. IV p. 278. Vide Eustath. p. 822, 17 et editores Zenob. III, 8 nec non O. Jahn „Der Raub des Palladiums" in Philol. I p. 58 sq." Maur. Schmidt ad loc.

2) Cf. Welcker. Cycl. ep. I p. 72.

Fragm. XI. *μὲν*] *δ' ἄρ'* Tzetz. Posthom. utroque loc. — Clem. [Clem. ap.] Euseb. *μεσάτα, λαμπρὰ, σελάνα*; *λαμπρὰ* etiam Schol. Eur.; Schneidewin. Eustathii Prooem. Comment. Pindaric. p. 41. — V. 774 Tzetzae *παρθένον εἰσελάουσα* [*παρθένος, εἰσελάσασα* v. Schneidew. Philol. IV p. 747] *δρόμον μεγάλοισιν ἐν ἄστροις* Leschae vindicat Van Gent Epist. Crit. in Durid. Sam. p. 7.

*ὡς ὁ Λέσχης φησίν· ἡνίκα „νὺξ — σελήνη“.* Hic versus legitur etiam ap. Schol. ad Eurip. Hec. 910[1]. Clem. Al. Strom. I p. 139 (321 D) Sylb. 381 Pott. (Clem. ap.) Euseb. Praep. Ev. X, 12 § 15. p. 498 C. Eudoc. p. 31, 25. Tzetz. Posthomer. 720. 773.

12.

Paus. X, 25, 5 sq. (3): *Τέτρωται δὲ τὸν βραχίονα ὁ Μέγης, καθὰ δη καὶ Λέσχεως ὁ Αἰσχυλίνου*[2] *Πυρραῖος ἐν Ἰλίου πέρσιδι ἐποίησε· τρωθῆναι δὲ ὑπὸ τὴν μάχην τοῦτον, ἣν ἐν τῇ νυκτὶ ἐμαχέσαντο οἱ Τρῶες, ὑπὸ Ἀδμήτου φησὶ τοῦ Αὐγείου. Γέγραπται δὲ καὶ Λυκομήδης παρὰ τὸν Μέγητα ὁ Κρέοντος, ἔχων τραῦμα ἐπὶ τῷ καρπῷ· Λέσχεως οὕτω φησὶν αὐτὸν ὑπὸ Ἀγήνορος τρωθῆναι. δῆλα οὖν ὡς ἄλλως γε οὐκ ἂν ὁ Πολύγνωτος ἔγραψεν οὕτω τὰ ἕλκη σφίσιν, εἰ μὴ ἐπελέξατο τὴν ποίησιν τοῦ Λέσχεω.*

13.

Pausan. X, 26, 7 sq. (3): *Ὅμηρος μέν γε ἐδήλωσεν ἐν Ἰλιάδι Μενελάου καὶ Ὀδυσσέως ξενίαν παρὰ Ἀντήνορι, καὶ ὡς Ἑλικάονι ἡ Λαοδίκη συνοικοίη τῷ Ἀντήνορος· Λέσχεως δὲ τετρωμένον τὸν Ἑλικάονα ἐν*

---

1) *Καλλισθένης ἐν β΄ τῶν Ἑλληνικῶν οὕτω γράφει· ἑάλω ἡ Τροία Θαργηλιῶνος μηνός, ὡς μέν τινες τῶν ἱστορικῶν η΄ ἱσταμένου, ὡς δὲ ὁ τὴν μικρὰν Ἰλιάδα η΄ φθίνοντος. διορίζει γὰρ αὐτὸς τὴν ἅλωσιν φάσκων συμβῆναι τότε τὴν κατάληψιν ἡνίκα „νὺξ — σελήνη“.*

2) *Αἰσχυλήνου* codd.; emend. Dindorf.

τῇ νυκτομαχίᾳ γνωρισθῆναί τε ὑπὸ Ὀδυσσέως καὶ ἐξαχθῆναι ζῶντα ἐκ τῆς μάχης φησίν.

14.

Pausan. X, 26, 4 (1): *Ἀστύνοον δέ, οὗ δὴ ἐποιήσατο καὶ Λέσχεως μνήμην, πεπτωκότα ἐς γόνυ ὁ Νεοπτόλεμος ξίφει παίει.*

15.

Pausan. X, 27, 1 sq. (1): *Νεκροὶ δέ, ὁ μὲν γυμνὸς Πῆλις ὄνομα ἐπὶ τὸν νῶτόν ἐστιν ἐρριμμένος, ὑπὸ δὲ τὸν Πῆλιν Ἠϊονεύς τε κεῖται καὶ Ἄδμητος ἐνδεδυκότες ἔτι τοὺς θώρακας· καὶ αὐτῶν Λέσχεως Ἠϊονέα ὑπὸ Νεοπτολέμου, τὸν δὲ ὑπὸ Φιλοκτήτου φησὶν ἀποθανεῖν τὸν Ἄδμητον ......... Ἀφίκετο μὲν δὴ ἐπὶ τὸν Κασσάνδρας ὁ Κόροιβος γάμον, ἀπέθανε δέ, ὡς μὲν ὁ πλείων λόγος, ὑπὸ Νεοπτολέμου, Λέσχεως δὲ ὑπὸ Διομήδους ἐποίησεν ............. Πρίαμον δὲ οὐκ ἀποθανεῖν ἔφη Λέσχεως ἐπὶ τῇ ἐσχάρᾳ τοῦ Ἑρκείου, ἀλλὰ ἀποσπασθέντα ἀπὸ τοῦ βωμοῦ πάρεργον τῷ Νεοπτολέμῳ πρὸς ταῖς τῆς οἰκίας γενέσθαι θύραις. ....... Ἀξίονα δὲ παῖδα εἶναι Πριάμου Λέσχεως καὶ ἀποθανεῖν αὐτὸν ὑπὸ Εὐρυπύλου τοῦ Εὐαίμονός φησι. Τοῦ Ἀγήνορος δὲ κατὰ τὸν αὐτὸν ποιητὴν Νεοπτόλεμος αὐτόχειρ ἐστί· καὶ οὕτω φαίνοιτο ἂν Ἔχεκλος μὲν φονευθεὶς ὁ Ἀγήνορος ὑπὸ Ἀχιλλέως, Ἀγήνωρ δὲ αὐτὸς ὑπὸ τοῦ Νεοπτολέμου.*

16.

Aristoph. Lysistr. 155 sq.: *Ὁ γῶν Μενέλαος τᾶς Ἑλένας τὰ μᾶλά πα | γυμνᾶς παραυιδὼν ἐξέβαλ', οἰῶ,*

τὸ ξίφος. Ubi Schol.: Ἡ ἱστορία παρὰ Ἰβύκῳ[1]). τὰ δὲ αὐτὰ καὶ Λέσχης ὁ Πυρραῖος ἐν τῇ μικρᾷ Ἰλιάδι. καὶ Εὐριπίδης[2]) κτλ. Cf. Schol. ad Vesp. 714.

17.

Pausan. X, 25, 8 (3): Λέσχεως δὲ ἐς τὴν Αἴθραν ἐποίησεν, ἡνίκα ἡλίσκετο Ἴλιον, ὑπεξελθοῦσαν ἐς τὸ στρατόπεδον αὐτὴν ἀφικέσθαι τὸ Ἑλλήνων καὶ ὑπὸ τῶν παίδων γνωρισθῆναι τῶν Θησέως, καὶ ὡς παρ' Ἀγαμέμνονος αἰτῆσαι Δημοφῶν αὐτήν· ὁ δὲ ἐκείνῳ μὲν ἐθέλειν χαρίζεσθαι, ποιήσειν δὲ οὐ πρότερον ἔφη πρὶν Ἑλένην πεῖσαι· ἀποστείλαντι δὲ αὐτῷ κήρυκα ἔδωκεν Ἑλένη τὴν χάριν.

18.

Αὐτὰρ Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱὸς
Ἑκτορέην ἄλοχον κάταγεν κοίλας ἐπὶ νῆας.
παῖδα δ' ἑλὼν ἐκ κόλπου ἐυπλοκάμοιο τιθήνης
ῥῖψε ποδὸς τεταγὼν ἀπὸ πύργου· τὸν δὲ πεσόντα
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.

Tzetz. ad Lycophr. 1263: Λέσχης δὲ ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκὼς Ἀνδρομάχην καὶ Αἰνείαν αἰχμαλώτους φησὶ δοθῆναι τῷ Ἀχιλλέως υἱῷ Νεοπτολέμῳ, καὶ ἀπαχθῆναι σὺν αὐτῷ εἰς Φαρσαλίαν τὴν Ἀχιλλέως πατρίδα. φησὶ γὰρ οὑτωσί· „αὐτὰρ — κραταιή“.[3])

---

1) Fragm. 16 (p. 136) Schneidew. (35 Bergk.) — 2) Andr. 628—631. 3) Qui apud Tzetz. sequuntur versus sex, non Leschae, sed Simmiae sunt, ut discimus e Scholio ad Eur. Andr. 14 a Cobeto reperto; cf. Eur. Phoen. ed. Geel p. 281 et Schol. Eur. ed. Dind. IV p. 125 sq. Pro καὶ Αἰν. αἰχμαλώτους leg. αἰχμάλωτον.

Cf. Pausan. X, 25, 9 (4): *Γέγραπται μὲν Ἀνδρομάχη, καὶ ὁ παῖς οἱ προέστηκεν ἑλόμενος τοῦ μαστοῦ· τούτῳ Λέσχεως ῥιφέντι ἀπὸ τοῦ πύργου συμβῆναι λέγει τὴν τελευτήν, οὐ μὴν ὑπὸ δόγματός γε Ἑλλήνων, ἀλλ' ἰδίᾳ Νεοπτόλεμον αὐτόχειρα ἐθελῆσαι γενέσθαι.*

19.

Pausan. X, 26, 1 sq. (1): *Λέσχεως δὲ καὶ ἔπη τὰ Κύπρια διδόασιν Εὐρυδίκην γυναῖκα Αἰνείᾳ. γεγραμμέναι δὲ ἐπὶ κλίνης ὑπὲρ ταύτας Δηινόμη τε καὶ Μητιόχη, καὶ Πεῖσίς ἐστι καὶ Κλεοδίκη· τούτων ἐν Ἰλιάδι καλουμένῃ μικρᾷ μόνης ἐστὶ τὸ ὄνομα τῆς Δηινόμης.*

---

Fragmenta dubia.

[1.]

*Φήμη δ' ἐς στρατὸν ἦλθε.*

Aeschines contra Timarch. § 128 (140 sq.) de verbo *φήμη* disserens: *καὶ οὕτως ἐναργές ἐστι καὶ οὐ πεπλασμένον ὃ λέγω, ὥσθ' εὑρήσετε καὶ τοὺς προγόνους φήμης ὡς θεοῦ μεγίστης βωμὸν ἱδρυμένους, καὶ τὸν Ὅμηρον πολλάκις ἐν τῇ Ἰλιάδι λέγοντα πρὸ τοῦ τι τῶν μελλόντων γενέσθαι· „φήμη δ' εἰς στρατὸν ἦλθε".* Ad Iliadem parvam hoc fragmentum

referendum esse statuerunt Welcker Cycl. ep. I, p. 133 not. 153. Bode Poes. graec. hist. I, p. 289. Düntz.[1])

---

1) Plut. moral. p. 153 F. Ἀκούομεν γὰρ ὅτι καὶ πρὸς τὰς Ἀμφιδάμαντος ταφὰς εἰς Χαλκίδα τῶν τότε σοφῶν οἱ δοκιμώτατοι ποιηταὶ συνῆλθον. ἦν δὲ ὁ Ἀμφιδάμας ἀνὴρ πολεμικὸς (πολεμικὸς Nietzsche, πολιτικὸς vulgo) καὶ πολλὰ πράγματα παρασχὼν Ἐρετριεῦσιν ἐν ταῖς περὶ Ληλάντου μάχαις ἔπεσεν. ἐπεὶ δὲ τὰ παρεσκευασμένα τοῖς ποιηταῖς ἔπη χαλεπὴν καὶ δύσκολον ἐποίει τὴν κρίσιν διὰ τὸ ἐφάμιλλον, ἥ τε δόξα τῶν ἀγωνιστῶν Ὁμήρου καὶ Ἡσιόδου πολλὴν ἀπορίαν μετὰ αἰδοῦς τοῖς κρίνουσι παρεῖχεν, ἐτράποντο πρὸς τοιαύτας ἐρωτήσεις καὶ προὔβαλ' Ὅμηρος, ὥς φησι Λέσχης· (ὥς φησι Λέσχης] „Cum Bergkio Anal. Alex. I p. 22 aliquem haec verba adiecisse censeo, ut indicaret auctorem haec ex parva Iliade petiisse." Nietzsche. „Μοῦσά μοι ἔννεπ' ἐκεῖνα, τὰ μήτ' ἐγένοντο πάροιθεν, | μήτ' ἔσται μετόπισθεν". ἀπεκρίνατο δὲ Ἡσίοδος ἐκ τοῦ παρατυχόντος· ἀλλ' ὅταν ἀμφὶ Διὸς τύμβῳ καναχήποδες ἵπποι | ἅρματα συντρίψωσιν ἐπειγόμενοι περὶ νίκης· καὶ διὰ τοῦτο λέγεται μάλιστα θαυμασθεὶς τοῦ τρίποδος τυχεῖν. Contra Cert. Homeri et Hesiod. p. 316 Goettl. 8 Nietzsche. Ὁ δ' Ἡσίοδος ἀχθεσθεὶς ἐπὶ τῇ Ὁμήρου εὐημερίᾳ ἐπὶ τὴν τῶν ἀπόρων ὥρμησεν ἐπερώτησιν καί φησι τούςδε τοὺς στίχους. Μοῦσ' ἄ γέ μοι τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα, | τῶν μὲν μηδὲν ἄειδε, σὺ δ' ἄλλης μνῆσαι ἀοιδῆς. ὁ δ' Ὅμηρος βουλόμενος ἀκολούθως τὸ ἄπορον λῦσαι φησίν· οὐδέ ποτ' ἀμφὶ Διὸς τύμβῳ ...... (In Cod. [Laur.] lacuna. Cf. Nietzsche.) ἅρματα συντρίψουσιν ἐρίζοντες περὶ νίκης. Lescham hunc a vetere poeta diversum esse satis constat. Cf. Goettl. praef. p. XXIII, Welcker Cycl. ep. I, p. 269, G. Hermann. Opusc. Vol. VI, p. 145, Marckscheff. p. 35 sq.

Narrationem quam Tzetzes ad Lycophr. 1232 ex Iliade parva se hausisse profitetur, [Ὕστερον δέ, τῆς Τροίας πορθουμένης, ἐλευθερωθεὶς ὑφ' Ἑλλήνων αὐτὸς ὁ Αἰνείας, ἢ αἰχμάλωτος ἀχθεὶς ὑπὸ Νεοπτολέμου, ὥς φησιν ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκώς, καὶ μετὰ τὴν ὑπ' Ὀρέστου ἐν Δελφοῖς τοῦ Νεοπτολέμου ἀναίρεσιν ἐλευθερωθείς, οἰκεῖ πρῶτον τὰ περὶ Ῥαίκηλον καὶ Ἀλμωνίαν, πόλεις Μακεδονίας κτλ.] non Leschae, sed Simmiae aliive poetae tribuendam esse docemur a Schol. Ven. ad Eur. Andr. 14 a Cobeto reperto. V. supra p. 46 not. 3.

## ILII PERSIS.

Procl.[1]) *Ἕπεται δὲ τούτοις Ἰλίου πέρσιδος*[2]) *βιβλία β' Ἀρκτίνου Μιλησίου, περιέχοντα τάδε. ὡς τὰ περὶ τὸν ἵππον οἱ Τρῶες ὑπόπτως ἔχοντες περιστάντες βουλεύονται, ὅ,τι χρὴ ποιεῖν· καὶ τοῖς μὲν δοκεῖ κατακρημνίσαι αὐτόν, τοῖς δὲ καταφλέγειν, οἱ δὲ ἱερὸν αὐτὸν ἔφασαν δεῖν τῇ Ἀθηνᾷ ἀνατεθῆναι· καὶ τέλος νικᾷ ἡ τούτων γνώμη. τραπέντες δὲ εἰς εὐφροσύνην εὐωχοῦνται ὡς ἀπηλλαγμένοι τοῦ πολέμου. ἐν αὐτῷ δὲ τούτῳ*[3]) *δύο δράκοντες ἐπιφανέντες τόν τε Λαοκόωντα καὶ τὸν ἕτερον τῶν παίδων διαφθείρουσιν· ἐπὶ δὲ τῷ τέρατι δυσφορήσαντες οἱ περὶ τὸν Αἰνείαν ὑπεξῆλθον εἰς τὴν Ἴδην· καὶ Σίνων τοὺς πυρσοὺς ἀνίσχει τοῖς Ἀχαιοῖς, πρότερον εἰσεληλυθὼς προσποίητος. οἱ δὲ ἐκ Τενέδου προσπλεύσαντες καὶ οἱ ἐκ τοῦ δουρείου ἵππου ἐπιπίπτουσι τοῖς πολεμίοις, καὶ πολλοὺς ἀνελόντες τὴν πόλιν κατὰ κράτος λαμβάνουσι. καὶ Νεοπτόλεμος μὲν ἀποκτείνει Πρίαμον ἐπὶ τὸν τοῦ Διὸς τοῦ ἑρκείου βωμὸν καταφυγόντα. Μενέλαος δὲ ἀνευρὼν Ἑλένην*[4]) *ἐπὶ τὰς ναῦς κατάγει, Δηίφοβον φονεύσας. Κασσάνδραν δὲ Αἴας ὁ Ἰλέως*[5]) *πρὸς βίαν ἀποσπῶν συνεφέλκεται τὸ τῆς Ἀθηνᾶς ξόανον· ἐφ' ᾧ παροξυνθέντες οἱ Ἕλληνες καταλεῦσαι*

---

1) Cod. Marc. 454 fol. 6v. Cf. ad Aethiopidem (supra p. 32 not. 2) Heyne p. 37 sq. Gaisf. p. 483 sq. [533 sq. Lips.] Michaelis p. 112. Dind. p. XXXVIII sq. — Inscriptio: *ἰλίου περσίδος β̄ ἀρκτίνου*. — 2) *περσίδος* cod. 3) *τ'* spatio relicto cod.; *τούτῳ* Welck. Studemund; *τῷ τόπῳ* Thiersch Act. philol. Monac. II p. 588. 4) *Ἑλένην* Heyne; *ἕλενον* Cod. — 5) *ὁ ἰλέως* cod. *Ὀϊλέως* Heyne. Cf. quos laudat Michaelis.

*βουλεύονται*[1]) *τὸν Αἴαντα, ὁ δὲ ἐπὶ τὸν τῆς Ἀθηνᾶς βωμὸν καταφεύγει καὶ διασώζεται ἐκ τοῦ ἐπικειμένου κινδύνου. ἔπειτα ἐμπρήσαντες τὴν πόλιν Πολυξένην σφαγιάζουσιν ἐπὶ τὸν τοῦ Ἀχιλλέως τάφον. καὶ Ὀδυσσέως Ἀστυάνακτα ἀνελόντος Νεοπτόλεμος Ἀνδρομάχην γέρας λαμβάνει. καὶ τὰ λοιπὰ λάφυρα διανέμονται· Δημοφῶν δὲ καὶ Ἀκάμας Αἴθραν εὑρόντες ἄγουσι μεθ' ἑαυτῶν. ἔπειτα ἀποπλέουσιν οἱ Ἕλληνες, καὶ φθορὰν αὐτοῖς ἡ Ἀθηνᾶ κατὰ τὸ πέλαγος μηχανᾶται*[2]).

---

Inscriptio p. 34 laudata. [*Νεοπτόλεμος ἀ*]*π*[*ο-κ*]*τείν*[*ε*]*ι*[3]) *Πρίαμον καὶ Ἀγήνορα, Πολυποίτης Ἐχεῖον, Θρασ*[*υ*]*μήδης Νι*[*κ*]*αίνετον*[4]), *Φιλοκτήτης Διοπ*[*ε*]*ίθην, Διο* . . . .

1.

Dionys. Halicarn. Antiq. Rom. I, 69: *Ἀρκτῖνος δέ φησιν ὑπὸ Διὸς δοθῆναι Δαρδάνῳ παλλάδιον ἓν καὶ εἶναι τοῦτο ἐν Ἰλίῳ ἕως ἡ πόλις ἡλίσκετο, κεκρυμμένον ἐν ἀβάτῳ, εἰκόνα δὲ ἐκείνου κατεσκευασμένην μηδὲ ἓν τοῦ ἀρχετύπου διάφορον ἀπάτης τῶν ἐπιβουλευόντων ἕνεκα ἐν φανερῷ τεθῆναι καὶ αὐτὴν Ἀχαιοὺς ἐπιβουλεύσαντας λαβεῖν.*

---

1) *βούλονται* Heyne. 2) *τοῦ ἐπικειμένου κινδύνου. ἔπειτα ἀποπλέουσιν — μηχανᾶται.* (Inc. fol. 4r.) *καὶ Ὀδυσσέως — μεθ' ἑαυτῶν. ἔπειτα ἐμπρήσαντες — τάφον* cod. Ordinem pristinum restituit Lehrs Litt. Centralbl. 1874 p. 668. — Michaelis post fol. 6 Cod. Marc. folium excidisse ratus verba *καὶ Ὀδυσσέως — τάφον* ad Stesichori Ilii persidem spectare putat; quam opinionem refellit Lehrs l. l. 3) Restituerunt K. O. Müller. Tychsen Q. Smyrn. p. LXXV. 4) *θρασιμηδης νιδιαινετον* (?) inscriptio.

2.

Schol. Ven. et Vat. ad Eur. Andr. 10 de Astyanacte: *Στησίχορον μέντοι ἱστορεῖν (φασιν) ὅτι τεθνήκοι καὶ τὸν τὴν πέρσιδα συντεταχότα ....*[1]) *ποιητὴν ὅτι καὶ ἀπὸ τοῦ τείχους ῥιφείη.*

3.

*Θησείδῃσι δὲ δῶρα πόρε κρείων Ἀγαμέμνων*
*ἠδὲ Μενεσθῆι μεγαλήτορι ποιμένι λαῶν.*

Schol. Vat. et Neap.[2]) ad Eur. Troad. 31: *Ἔνιοι ταῦτά φασι πρὸς χάριν εἰρῆσθαι· μηδὲν*[3]) *γὰρ εἰληφέναι τοὺς περὶ Ἀκάμαντα καὶ Δημοφῶντα ἐκ τῶν λαφύρων, ἀλλὰ μόνην τὴν Αἴθραν, δι' ἣν καὶ ἀφίκοντο εἰς Ἴλιον Μενεσθέως ἡγουμένου. Λυσίμαχος δὲ τὸν τὴν πέρσιδα*[4]) *πεποιηκότα φησὶ γράφειν οὕτως „Θησείδαις — λαῶν".*

4.

*Ἐξ ὀλίγου διαβὰς προφόρῳ ποδί, ὄφρ' οἱ γυῖα*
*τεινόμενα ῥώοιτο καὶ εὐσθενὲς εἶδος ἔχῃσι.*

Diomed. p. 473 Putsch. [Gramm. Lat. I, p. 477 Keil. Gaisford scriptt. latini rei metricae p. 428 sq.] Alii a Marte ortum Iambum strenuum ducem tradunt, qui cum crebriter pugnas iniret et telum cum clamore torqueret, *ἀπὸ*

1) Lacunae signa pos. Dindorf. 2) Schol. Neap. ed. Cobet post Eur. Phoen. ed. Geel p. 302 sq. 3) Sic Cobet; *μὴ* codd.
Fragm. III. 1. *Θησείδαις δ' ἔπορε δῶρα* codd.; emend. Koechly Coni. ep. I, p. 11.
4) *πέρσιδα* Cobet, *περσηΐδα* codd.
Fragm. IV. 1. *ὄφρ' οἱ*] Locus corruptus. *τόφρ' ἔπι* vel *ὄφρα τε* Naeke. *ὄφρ' ὄγε* Schneidew. Philol. IV, p. 746. — 2. *τεινομένῳ* Luzac ap. Santen. ad Terentian. M. p. 67. — *εἶδος*] *ἴχνος* Ruhnk.

*τοῦ ἰέναι καὶ βοᾶν* Iambus appellatur: idcirco ex brevi et longa pedem hunc esse compositum, quod hi qui iaculentur ex brevi accessu in extensum passum proferuntur, ut promptiore nisu telis ictum confirment. Auctor huius vibrationis[1]) Arctinus Graecus his versibus perhibetur.[2]) *Ο Ἴαμβος „ἐξ ὀλίγου — ἔχησι.“*

---

## NOSTI.

Procl.[3]) *Συνάπτει*[4]) *δὲ τούτοις τὰ τῶν Νόστων βιβλία ε' Ἁγίου*[5]) *Τροιζηνίου, περιέχοντα τάδε.*

---

Quae Scholl. Ven. et Vat. ad Eur. Hec. 41 [*τύμβῳ φίλον πρόσφαγμα*] narrant, *Ὑπὸ Νεοπτολέμου φασὶν αὐτὴν* (sc. *τὴν Πολυξένην*) *σφαγιασθῆναι Εὐριπίδης καὶ Ἴβυκος. ὁ δὲ τὰ Κυπριακὰ ποιήσας φησὶν ὑπὸ Ὀδυσσέως καὶ Διομήδους ἐν τῇ τῆς πόλεως ἁλώσει τραυματισθεῖσαν ἀπολέσθαι, ταφῆναι δὲ ὑπὸ Νεοπτολέμου, ὡς Γλαῦκος γράφει.* nec ad Cypria nec ad Ilii persidem referri possunt.

1) Legebatur librationis. 2) Locum interpretatus est Welcker, cuius verba [Cycl. ep. II, p. 529] apponimus. „Den Jambus nannte und beschrieb nicht der alte Dichter, wie Näke mit Scaliger [Animadv. in Euseb. p. 69] verstand (Rhein. Mus. 1834 II, 267 sq.): „Der Jambus | Geht mit wachsendem Fusse, von kleinem aus: immer so lang ihm | Rüstig die Glieder sich regen und kraftvoll wird (bleibt?) die Gestaltung“: sondern der Grammatiker wollte sagen, nach der von dem Dichter geschilderten Bewegung sey der Jamb erfunden worden oder nach einem Helden des Arktinos, wie in einer andern Sage nach einem Apulischen, und er verbindet nur ungeschickt mit den Versen selbst als Subject *ὁ ἴαμβος*, wenn dies Subject nicht einem Abschreiber zur Last fällt.“ 3) Cod. Marc. 454 fol. 4r. V. ad Aethiopidem (supra p. 32 not. 2.) Heyne p. 40 sq. = Gaisf. Heph. p. 485 sq. [535 sq. Lips.] = Michaelis p. 112 = Dind. p. XXXIX sq. — Inscriptio: *νόστων ε̄ αγιου.* — 4) *συνάπτεται* Welcker. 5) Sic cod. (*Αὔγιου* legit Siebenkees.) *Ἀγίου* Thiersch.

Ἀθηνᾶ Ἀγαμέμνονα καὶ Μενέλαον εἴς ἔριν καθίστησι περὶ τοῦ ἔκπλου. Ἀγαμέμνων μὲν οὖν τὸν τῆς Ἀθηνᾶς ἐξιλασόμενος χόλον ἐπιμένει, Διομήδης δὲ καὶ Νέστωρ ἀναχθέντες εἰς τὴν οἰκείαν[1]) διασώζονται· μεθ' οὓς ἐκπλεύσας ὁ Μενέλαος μετὰ πέντε νεῶν εἰς Αἴγυπτον παραγίνεται, τῶν λοιπῶν διαφθαρεισῶν νεῶν ἐν τῷ πελάγει. οἱ δὲ περὶ Κάλχαντα καὶ Λεοντέα καὶ Πολυποίτην πεζῇ πορευθέντες εἰς Κολοφῶνα Τειρεσίαν[2]) ἐνταῦθα τελευτήσαντα θάπτουσι. τῶν[3]) δὲ περὶ τὸν Ἀγαμέμνονα ἀποπλεόντων Ἀχιλλέως εἴδωλον ἐπιφανὲν πειρᾶται διακωλύειν προλέγον τὰ συμβησόμενα. εἶθ' ὁ περὶ τὰς Καφηρίδας πέτρας δηλοῦται χειμὼν καὶ ἡ Αἴαντος φθορὰ τοῦ Λοκροῦ. Νεοπτόλεμος δὲ Θέτιδος ὑποθεμένης πεζῇ ποιεῖται τὴν πορείαν· καὶ παραγενόμενος εἰς Θρᾴκην Ὀδυσσέα καταλαμβάνει ἐν τῇ Μαρωνείᾳ, καὶ τὸ λοιπὸν ἀνύει τῆς ὁδοῦ, καὶ τελευτήσαντα Φοίνικα θάπτει· αὐτὸς δὲ εἰς Μολοσσοὺς ἀφικόμενος ἀναγνωρίζεται Πηλεῖ. ἔπειτα[4]) Ἀγαμέμνονος ὑπὸ Αἰγίσθου καὶ Κλυταιμνήστρας ἀναιρεθέντος ὑπ' Ὀρέστου[5]) καὶ Πυλάδου τιμωρία, καὶ Μενελάου εἰς τὴν οἰκείαν[6]) ἀνακομιδή.

---

1.

Apollodor. II, 1, 5, 14 de Nauplio: ἔγημεν, ὡς μὲν οἱ τραγικοὶ λέγουσι, Κλυμένην τὴν Κατρέως, ὡς δὲ

---

1) οἰκίαν cod.; corr. Bekk. 2) Τειρεσίαν] Κάλχαντα [coll. Tzetz. ad Lycophr. 427] Meineke Anal. Alex. p. 79. Nitzsch ad Od. Vol. III p. 149 sq. — 3) τὸν cod. 4) Πηλεῖ . . . . . (lac.) τα cod. ἔπειτα τὰ Heyne. 5) καὶ τούτων ὑπ' Ὀρ. Heyne. 6) οἰκίαν cod.; corr. Bekker.

ὁ τοὺς νόστους γράψας, Φιλύραν, ὡς δὲ Κέρκωψ, Ἡσιόνην, καὶ ἐγέννησε Παλαμήδην Οἴακα Ναυσιμέδοντα.

2.

Schol. [Codd. HMQR][1]) ad Hom. Od. δ, 12: αὕτη (sc. δούλη), ὡς μὲν Ἀλεξίων, Τειρίς, ὡς δὲ ἔνιοι, Τηρίς, θυγάτηρ Ζευξίππης· ὡς δὲ ὁ τῶν Νόστων ποιητής, Γέτις. τινὲς δὲ τὸ δούλης κύριόν φασι διὰ τὸ μηδέποτε οὕτω λέγειν τὸν ποιητὴν τὴν θεράπαιναν.[2])

3.

Pausan. X, 28, 7 (4): Ἡ δὲ Ὁμήρου ποίησις ἡ ἐς Ὀδυσσέα καὶ ἡ Μινυάς τε καλουμένη καὶ οἱ Νόστοι, μνήμη γὰρ ἐν ταύταις καὶ Ἅιδου καὶ τῶν ἐκεῖ δειμάτων ἐστίν, ἴσασιν οὐδένα Εὐρύνομον δαίμονα.

4.

Pausan. X, 29, 6 (3): Ἔστι δὲ πεποιημένα ἐν Νόστοις Μινύου μὲν τὴν Κλυμένην θυγατέρα εἶναι, γήμασθαι δὲ αὐτὴν Κεφάλῳ τῷ Δηίονος καὶ γενέσθαι σφίσιν Ἴφικλον παῖδα.

5.

Pausan. X, 30, 5 (3) de Maera: Περὶ δὲ αὐτῆς πεποιημένα ἐστὶν ἐν Νόστοις ἀπελθεῖν μὲν παρθένον

---

1) H = Harl., M = Marc., Q = Ambr., R = Flor.

2) Legebatur ὡς δὲ ὁ τῶν Νόστων ποιητής, τὸ δούλης κύριον ὄνομα· φασὶ δὲ μηδέποτε λέγειν τ. π. δούλην θεράπαιναν. — Γέτις HM. γὲ τις R. „et similiter haud dubie etiam Q. Est autem hoc quoque nomen incertum, etsi Γέτις (nam sic Salmas. correxit pro Γέτης) ἐκαλεῖτο ἡ γυνὴ τοῦ Φιλίππου τοῦ Ἀμύντου, ut refert Steph. Byz. s. v. Γετία“. Dind.

ἔτι ἐξ ἀνθρώπων, θυγατέρα δὲ αὐτὴν εἶναι Προίτου τοῦ Θερσάνδρου, τὸν δὲ εἶναι Σισύφου.

6.

*Αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα,*
*γῆρας ἀποξύσασ' εἰδυίῃσι πραπίδεσσι,*
*φάρμακα πόλλ' ἕψουσ' ἐνὶ χρυσείοισι λέβησιν.*

Argum. ad Eur. Med. (Scholl. Vol. IV, p. 1 sq. Dind.): *Φερεκύδης δὲ καὶ Σιμωνίδης φασὶν ὡς ἡ Μήδεια ἀνεψήσασα τὸν Ἰάσονα νέον ποιήσειε. περὶ δὲ τοῦ πατρὸς αὐτοῦ Αἴσονος ὁ τοὺς Νόστους ποιήσας φησὶν οὕτως „αὐτίκα — λέβησι".* Eadem fere habet Schol. ad Aristoph. Eq. 1321.

---

## Fragmenta dubia.

[7.]

Pausan. I, 2, 1: *Ταύτην τὴν Ἀντιόπην Πίνδαρος μέν φησιν ὑπὸ Πειρίθου καὶ Θησέως ἁρπασθῆναι, Τροιζηνίῳ δὲ Ἡγίᾳ*[1]) *τοιάδε ἐς αὐτὴν πεποίηται· Ἡρακλέα Θεμίσκυραν πολιορκοῦντα τὴν ἐπὶ Θερμώδοντι ἑλεῖν μὴ δύνασθαι, Θησέως δὲ ἐρασθεῖσαν Ἀντιόπην, στρατεῦσαι γὰρ ἅμα Ἡρακλεῖ καὶ Θησέα, παραδοῦναι τὸ χωρίον. τάδε μὲν Ἡγίας πεποίηκεν.*

---

Fragm. VI. 1. *φίλον* corruptum; *πάλιν* vel *νέον* (ex Il. *I*, 446), vel *καλόν* Koechly coni. ep. I p. 9. — 2. *ἀποξύσασα Ϝιδυίῃσι* Elmsley. — 3. *ἐνὶ* Schneidew. Philol. IV, p. 747 (*ἕψουσα ἐνὶ χρυσέοισι λ.*) Koechly l. l.; *ἐπὶ* vulgo.

1) Nomen *Ἡγίας* ab *Ἀγίας* non diversum esse putat Mützell de emend. Theog. p. 181.

[8.]

*Δῶρα γὰρ ἀνθρώπων νόον ἤπαφεν ἠδὲ καὶ ἔργα.*

Clem. Alex. Strom. VI, p. 264 (622 D) Sylb. 743 Pott. *Ἀντιμάχου τε τοῦ Τηΐου εἰπόντος· ἐκ γὰρ δώρων πολλὰ κάκ' ἀνθρώποισι πέλονται, Αὐγίας*[1]) *ἐποίησε· „δῶρα — ἔργα".*

[9.]

Eustath. ad Od. p. 1796, 53 Rom. 597 Bas. *Ὁ δὲ τοὺς νόστους ποιήσας Κολοφώνιος Τηλέμαχον μέν φησι τὴν Κίρκην ὕστερον γῆμαι, Τηλέγονον δὲ τὸν ἐκ Κίρκης ἀντιγῆμαι Πηνελόπην.*[2])

[10.]

Athen. VII, p. 281, B, C: *φιλήδονον δ' οἱ ποιηταὶ καὶ τὸν ἀρχαῖόν φασι γενέσθαι Τάνταλον. ὁ γοῦν τὴν τῶν Ἀτρειδῶν ποιήσας κάθοδον ἀφικόμενον αὐτὸν λέγει πρὸς τοὺς θεοὺς καὶ συνδιατρίβοντα ἐξουσίας τυχεῖν παρὰ τοῦ Διὸς αἰτήσασθαι ὅτου ἐπιθυμεῖ. τὸν δὲ πρὸς τὰς ἀπολαύσεις ἀπλήστως διακείμενον ὑπὲρ αὐτῶν τε τούτων μνείαν ποιήσασθαι καὶ τοῦ ζῆν τὸν αὐτὸν τρόπον τοῖς θεοῖς. ἐφ' οἷς ἀγανακτήσαντα τὸν Δία τὴν μὲν εὐχὴν ἀποτελέσαι διὰ τὴν ὑπόσχεσιν, ὅπως δὲ μηδὲν ἀπολαύῃ τῶν παρακειμένων ἀλλὰ διατελῇ ταραττόμενος, ὑπὲρ τῆς κεφαλῆς ἐξήρτησεν αὐτῷ πέτρον, δι' ὃν οὐ δύναται τῶν παρακειμένων τυχεῖν οὐδενός.*[3])

---

1) *Ἀγίας* Thiersch Act. Monac. II, p. 585. Cf. Meineke Fragm. Comic. I, p. 416 sq. 2) Welck. Cycl. ep. I, p. 286 sq. 3) Welck. l. l. p. 279.

## TELEGONIA.

Procl.[1]) *Μετὰ ταῦτά ἐστιν Ὁμήρου Ὀδύσσεια· ἔπειτα Τηλεγονίας*[2]) *βιβλία δύο Εὐγάμμωνος*[3]) *Κυρηναίου, περιέχοντα τάδε. οἱ μνήστορες*[4]) *ὑπὸ τῶν προσηκόντων θάπτονται· καὶ Ὀδυσσεὺς θύσας Νύμφαις εἰς Ἦλιν ἀποπλεῖ ἐπισκεψόμενος τὰ βουκόλια, καὶ ξενίζεται παρὰ Πολυξένῳ δῶρόν τε λαμβάνει κρατῆρα, καὶ ἐπὶ τούτῳ*[5]) *τὰ περὶ Τροφώνιον καὶ Ἀγαμήδην καὶ Αὐγέαν. ἔπειτα εἰς Ἰθάκην καταπλεύσας τὰς ὑπὸ Τειρεσίου ῥηθείσας τελεῖ θυσίας. καὶ μετὰ ταῦτα εἰς Θεσπρωτοὺς ἀφικνεῖται καὶ γαμεῖ Καλλιδίκην βασιλίδα τῶν Θεσπρωτῶν. ἔπειτα πόλεμος συνίσταται τοῖς Θεσπρωτοῖς πρὸς Βρύγους,*[6]) *Ὀδυσσέως ἡγουμένου· ἐνταῦθα Ἄρης τοὺς περὶ τὸν Ὀδυσσέα τρέπεται,*[7]) *καὶ αὐτῷ εἰς μάχην Ἀθηνᾶ καθίσταται· τούτους μὲν Ἀπόλλων διαλύει. μετὰ δὲ τὴν Καλλιδίκης τελευτὴν τὴν μὲν βασιλείαν διαδέχεται Πολυποίτης Ὀδυσσέως υἱός, αὐτὸς δ' εἰς Ἰθάκην ἀφικνεῖται· κἀν τούτῳ Τηλέγονος*[8]) *ἐπὶ ζήτησιν τοῦ πατρὸς πλέων, ἀποβὰς εἰς τὴν Ἰθάκην τέμνει τὴν νῆσον· ἐκβοηθήσας δ' Ὀδυσ-*

---

1) Cod. Marc. 454 fol. 4r. Cf. ad Aethiopidem (supra p. 32 not. 2.) Heyne p. 42 sq. Gaisf. p. 487—489 [536—538 ed. Lips.], Michaelis p. 121. Dind. Scholl. Il. I p. XL sq. — Inscriptio: *τηλεγονίας β̄ εὐγάμμωνος:* 2) Eustath. ad Il. p. 785, 22 Rom. (697 Bas.): *προπαροξύνονται δὲ καὶ ἄμφω αἱ τοιαῦται λέξεις* (sc. *Δολώνεια, Πατρόκλεια*), *ὥσπερ καὶ Τηλεγόνεια κατὰ τὴν παλαιὰν ὀρθογραφίαν ἢ κατὰ Τηλέγονον πραγματεία.* Cf. Cramer. An. Oxon. II, p. 299, 28. — 3) *Εὐγάμμονος* Welcker. 4) *μνηστῆρες* Thiersch. 5) *τούτου* Welcker. Cf. Cycl. ep. II, p. 304. 6) *βρυγοὺς* Cod. 7) A-*πεται* inc. fol. 4v. 8) *τηλεγόμενος* Cod.

σεὺς ὑπὸ τοῦ παιδὸς ἀναιρεῖται κατ' ἄγνοιαν. Τηλέγονος δ' ἐπιγνοὺς τὴν ἁμαρτίαν τό τε τοῦ πατρὸς σῶμα καὶ τὸν Τηλέμαχον καὶ τὴν Πηνελόπην πρὸς τὴν μητέρα μεθίστησιν[1]· ἡ δὲ αὐτοὺς ἀθανάτους ποιεῖ, καὶ συνοικεῖ[2]) τῇ μὲν Πηνελόπῃ Τηλέγονος, Κίρκῃ[3]) δὲ Τηλέμαχος.

---

Multi scriptores Graeci, teste Clem. Alex. Strom. VI. p. 266 (628 B) Sylb. 751 Pott. aliorum opera exscripserunt, αὐτοτελῶς γὰρ τὰ ἑτέρων ὑφελόμενοι, ὡς ἴδια ἐξήνεγκαν, καθάπερ Εὐγάμων[4]) ὁ Κυρηναῖος ἐκ Μουσαίου τὸ περὶ Θεσπρωτῶν βιβλίον ὁλόκληρον κτλ. Clementem laudat Euseb. Praep. Evang. X, 2 p. 462 D.

---

Eustath. ad Od. p. 1796, 47 Rom. 597 Bas. Ὁ δὲ τὴν Τηλεγόνειαν γράψας Κυρηναῖος ἐκ μὲν Καλυψοῦς Τηλέγονον υἱὸν Ὀδυσσεῖ ἀναγράφει ἢ Τηλέδαμον, ἐκ δὲ Πηνελόπης Τηλέμαχον καὶ Ἀρκεσίλαον. Eadem habet Eudocia p. 77, 11—14.

## Fragmenta, quorum sedes definiri nequit.

### 1.

Schol. Ambr. et Harl. etc. ad Hom. Od. β, 120 Τυρώ] Σαλμωνέως θυγάτηρ. ἔσχε δὲ παῖδας ἐκ Ποσειδῶνος Νηλέα καὶ Πελίαν. Ἀλκμήνη Ἠλεκτρύωνος θυγάτηρ. Μυκήνη Ἰνάχου θυγάτηρ καὶ Μελίας τῆς

---

1) καθίστησιν Heyne Welcker. 2) συνοικειοῖ Heyne. — 3) Sic Thiersch Act. philol. Monac. II p. 586 Bekker Tzetz. Antehom. p. XIII; τὴν μὲν πηνελόπην τηλέγονος κίρκην cod. 4) Εὐγράμμων Euseb.

Ὠκεανοῦ, ἧς καὶ Ἀρέστορος[1]) Ἄργος, ὡς ἐν τῷ Κύκλῳ φέρεται. Cf. Müller. de cycl. p. 138.

[2.]

Etym. M. (p. 600, 8) et Gud. (p. 405, 1) v. νεκάδες. Παρὰ μὲν τοῖς κυκλικοῖς αἱ ψυχαὶ νεκάδες λέγονται. — ἦ τέ κε δηρὸν | αὐτοῦ πήματ' ἔπασχον ἐν αἰνῇσιν[2]) νεκάδεσσιν. Ἰλιάδος ε'.[3]) — Cyclo vindicat Duentz. Suppl. p. 19.

---

## II. CARMINA HEROICA

### Homero vulgo adscripta.

### I. AMPHIARAI EXELASIS.

Suid. v. Ὅμηρος (II, 1 p. 1096, 12 sqq. Bernh.): Ἀναφέρεται δὲ εἰς αὐτὸν καὶ ἄλλα τινὰ ποιήματα ........ Ἀμφιαράου ἐξέλασις. Pseudo-Herodot. Vita Homer. § 9: χρόνου δὲ προϊόντος ἐν τῇ Σμύρνῃ ἄπορος ἐὼν τοῦ βίου διενοήθη ἀπικέσθαι ἐς Κύμην, πορευόμενος δὲ διὰ τοῦ Ἕρμου πεδίου ἀπικνέεται ἐς Νέον τεῖχος ........ ἐνταῦθα λέγεται αὐτὸν ἐπιστάντα ἐπὶ σκυτεῖόν τι εἰπεῖν πρῶτα τὰ ἔπεα τάδε ...... τῷ δὲ σκυτεῖ ὄνομα ἦν Τύχιος. ἀκούσαντι δὲ τῶν ἐπέων ἔδοξεν αὐτῷ δέξασθαι τὸν ἄνθρωπον· ἠλέησε γὰρ αἰτέοντα τυφλὸν καὶ ἐκέλευσεν εἰσιέναι τ' αὐτὸν εἰς τὸ ἐργαστήριον καὶ μετέξειν ἔφη τῶν παρεόντων. ὁ δ' εἰσῆλθεν. κατήμενος δ' ἐν τῷ σκυτείῳ παρεόντων καὶ ἄλλων τήν τε ποίησιν αὐτοῖς

---

1) Sic Buttm. pro ἀριστερός. 2) αἰνῇσι Etym. M. 3) V. 885 sq. — Ἰλιάδος ε' om. Etym. Gud.

*ἐπεδείκνυτο, Ἀμφιάρεώ τε τὴν ἐξελασίαν τὴν ἐς Θήβας καὶ τοὺς ὕμνους τοὺς ἐς θεοὺς πεποιημένους αὐτῷ κτλ.*

Hoc poema a Thebaide non diversum fuisse putat Welcker. Cycl. ep. I. p. 298—302.

---

## II. OECHALIAE EXCIDIUM.

Suid. v. *Ὅμηρος* (II, 1 p. 1096, 12 sqq. Bernh.): *Ἀναφέρεται δὲ εἰς αὐτὸν καὶ ἄλλα τινὰ ποιήματα ....... Οἰχαλίας*[1]) *ἅλωσις.* Procl. Chrestom. I.[2]) de Homero disserens: *Λέγουσιν οὖν αὐτὸν εἰς Ἴον πλεύσαντα διατρῖψαι μὲν παρὰ Κρεοφύλῳ, γράψαντα δὲ Οἰχαλίας ἅλωσιν τούτῳ χαρίσασθαι, ἥτις νῦν ὡς Κρεοφύλου περιφέρεται.* Cf. Strab. XIV. p. 638: *Σάμιος δ' ἦν καὶ Κρεώφυλος, ὅν φασι δεξάμενον ξενίᾳ ποτὲ Ὅμηρον λαβῶν δῶρον τὴν ἐπιγραφὴν τοῦ ποιήματος ὃ καλοῦσιν Οἰχαλίας ἅλωσιν. Καλλίμαχος δὲ τοὐναντίον ἐμφαίνει δι' ἐπιγράμματός τινος, ὡς ἐκείνου μὲν ποιήσαντος λεγομένου δ' Ὁμήρου διὰ τὴν λεγομένην ξενίαν· „τοῦ Σαμίου πόνος εἰμί, δόμῳ ποτὲ θεῖον Ὅμηρον | δεξαμένου· κλείω δ' Εὔρυτον ὅσσ' ἔπαθεν, | καὶ ξανθὴν Ἰόλειαν· Ὁμήρειον δὲ καλεῦμαι | γράμμα· Κρεωφύλῳ, Ζεῦ φίλε, τοῦτο μέγα.“*[3]) *τινὲς δὲ διδάσκαλον Ὁμήρου τοῦτόν φασιν, οἱ δ' οὐ τοῦτον ἀλλ' Ἀριστέαν τὸν Προκοννήσιον.* Eustath. ad Il. B, 730 p. 330, 42 Rom. 250 Bas. *Τῆς Θεσσα-*

---

1) *σικελίας* codd. Suidae. 2) Cod. Marc. 454 fol. 1v ap. Bekk. Scholl. ad Hom. Il. p. I. Dind. Scholl. ad Hom. Il. I p. XXXII. 3) Hi versus leguntur etiam ap. Sext. Empir. adv. math. I § 48 p. 225 sq. (609 Bekk.) Eustath. ad Il. p. 331, 5 sq. Rom. 250 Bas. [*κλείω — Ἰόλειαν* om. Eustath.]

λικῆς δὲ (Οἰχαλίας) νῦν Ὅμηρος μέμνηται. εἴρηται δὲ καὶ περὶ Εὐρύτου ἐκεῖ καὶ τῆς αὐτοῦ θυγατρὸς Ἰόλης, δι' ἣν ἐπόρθησεν Ἡρακλῆς τὴν Οἰχαλίαν, εἰς ἣν δοκεῖ γράψαι καὶ Ὅμηρος κτλ.[1])

Oechalia ab Hercule expugnata ubi fuisset, quaerebatur. Strabo IX p. 438. Τὴν δ' Οἰχαλίαν πόλιν Εὐρύτου λεγομένην ἔν τε τοῖς τόποις τούτοις (sc. περὶ Τρίκκην) ἱστοροῦσι καὶ ἐν Εὐβοίᾳ καὶ ἐν Ἀρκαδίᾳ, καὶ μετονομάζουσιν [ἄλλοι] ἄλλως, ὃ καὶ ἐν τοῖς Πελοποννησιακοῖς[2]) εἴρηται. περὶ δὲ τούτων ζητοῦσι καὶ μάλιστα τίς ἦν ἡ ὑπὸ Ἡρακλέους ἁλοῦσα, καὶ περὶ τίνος συνέγραψεν ὁ ποιήσας τὴν Οἰχαλίας ἅλωσιν. Id. X p. 448. Ἔστι δὲ καὶ Οἰχαλία κώμη τῆς Ἐρετρικῆς, λείψανον τῆς ἀναιρεθείσης πόλεως ὑπὸ Ἡρακλέους. Cf. Paus. IV, 2 (v. infra ad fr. 2).

---

1.

Ὦ γύναι, αὐτὴ ταῦτά τ' ἐν ὀφθαλμοῖσιν ὅρηαι.

Grammaticus ap. Cram. An. Oxon. I p. 327 de forma ὅρηαι disserens: τοῦτο δὲ εὑρήσομεν καὶ ἐν τῇ Οἰχαλίας[3]) ἁλώσει, ἣ[4]) εἰς Ὅμηρον ἀναφέρεται, ἔστι δὲ Κρεώφυλος ὁ ποιήσας. Ἡρακλῆς δ' ἐστὶν ὁ λέγων πρὸς Ἰόλην· „Ὦ — ὅρηαι“.

---

1) Apud Schol. ad Plat. Remp. p. 421 Bekk. Suid. v. Κρεώφυλος Creophylus cum Stasino commutatus est. 2) VIII, p. 339. 3) χαλίας cod. 4) αἳ cod.

---

Fragm. I. Ὦ γύναι, ταῦτά τε ἐν cod.; emend. Koechly (coll. Od. ξ 343) coni. ep. I p. 11.

2.

Pausan. IV, 2, 3 (2): *Θεσσαλοὶ δὲ καὶ Εὐβοεῖς, ἥκει γὰρ δὴ ἐς ἀμφισβήτησιν τῶν ἐν τῇ Ἑλλάδι τὰ πλείω, λέγουσιν, οἱ μὲν ὡς τὸ Εὐρύτιον, χωρίον δὲ ἔρημον ἐφ' ἡμῶν ἐστὶ τὸ Εὐρύτιον, πόλις τὸ ἀρχαῖον ἦν καὶ ἐκαλεῖτο Οἰχαλία· τῷ δὲ Εὐβοέων λόγῳ Κρεώφυλος ἐν Ἡρακλείᾳ πεποίηκεν ὁμολογοῦντα.* Cf. Strabonis locos supra laudatos.

3.

Schol. Laur. ad Soph. Trach. 266: *Ἡσίοδος μὲν γὰρ δ' φησὶν ἐξ Εὐρύτου καὶ Ἀντιόχης παῖδας ...... Κρεώφυλος δὲ β'.*

4.

Schol. ad Eur. Med. 273: *Δίδυμος δὲ ........ παρατίθεται τὰ Κρεωφύλου ἔχοντα οὕτως· τὴν γὰρ Μήδειαν λέγει διατρίβουσαν ἐν Κορίνθῳ τὸν ἄρχοντα τότε τῆς πόλεως Κρέοντα ἀποκτεῖναι φαρμάκοις. δείσασαν δὲ τοὺς φίλους καὶ τοὺς συγγενεῖς αὐτοῦ φυγεῖν εἰς Ἀθήνας, τοὺς δὲ υἱούς, ἐπεὶ νεώτεροι ὄντες οὐκ ἠδύναντο ἀκολουθεῖν, ἐπὶ τὸν βωμὸν τῆς Ἀκραίας Ἥρας καθιεῖν, νομίσασαν τὸν πατέρα αὐτῶν φροντιεῖν τῆς σωτηρίας αὐτῶν. τοὺς δὲ Κρέοντος οἰκείους ἀποκτείναντας αὐτοὺς διαδοῦναι λόγους ὅτι ἡ Μήδεια οὐ μόνον τὸν Κρέοντα, ἀλλὰ καὶ τοὺς ἑαυτῆς παῖδας ἀπέκτεινε*[1]).

---

1) Cf. Schubart. in Ephem. litt. Hal. 1840. I. p. 515.

III. PHOCAIS.

Pseudo-Herod. Vita Hom. § 16 (cf. p. 38 sq.) *Διατρίβων δὲ παρὰ τῷ Θεστορίδῃ ποιεῖ Ἰλιάδα τὴν ἐλάσσω ...... καὶ τὴν καλουμένην Φωκαΐδα, ἥν φασιν οἱ Φωκαεῖς Ὅμηρον παρ' αὐτοῖσι ποιῆσαι. ἐπεὶ δὲ τήν τε Φωκαΐδα καὶ τἆλλα πάντα παρὰ τοῦ Ὁμήρου ὁ Θεστορίδης ἐγράψατο, διενοήθη ἐκ τῆς Φωκαίης ἀπαλλάσσεσθαι, τὴν ποίησιν θέλων τοῦ Ὁμήρου ἐξιδιώσασθαι, καὶ οὐκ ἔτι ὁμοίως ἐν ἐπιμελείᾳ εἶχε τὸν Ὅμηρον.* Cf. Welcker. Cycl. ep. I. p. 248 sqq.

---

CARMINA MINORA.

Procl. Chrestom.[1]) *Γέγραφε δὲ (Ὅμηρος) ποιήσεις δύο, Ἰλιάδα καὶ Ὀδύσσειαν, ἣν Ξένων καὶ Ἑλλάνικος ἀφαιροῦνται αὐτοῦ. οἱ μέντοι γε ἀρχαῖοι καὶ τὸν κύκλον ἀναφέρουσιν εἰς αὐτόν. προστιθέασι δὲ αὐτῷ καὶ παίγνιά τινα, Μαργίτην, βατραχομαχίαν ἢ μυομαχίαν, ἑπτάπεκτον αἶγα, Κέρκωπας καινούς.*

Suid. v. *Ὅμηρος. Ἀναφέρεται δὲ εἰς αὐτὸν καὶ ἄλλα τινὰ ποιήματα· ....... Ἐπικιχλίδες, Ἠθιέπακτος, ἤτοι Ἴαμβοι, Μυοβατραχομαχία, Ἀραχνομαχία, Γερανομαχία, Κεραμίς, .... Παίγνια.*

Pseudo-Herodot. Vita Homeri § 24 p. 12 sq. Westerm. *Τοὺς Κέρκωπας καὶ Βατραχομυομαχίην καὶ Ψαρομαχίην καὶ Ἑπταπακτικὴν*[2]) *καὶ Ἐπικιχλίδας καὶ τἆλλα πάντα, ὅσα παίγνιά ἐστιν Ὁμήρου, ἐνταῦθ' ἐποίησε παρὰ τῷ Χίῳ ἐν Βολισσῷ.*

---

1) Cod. Marc. 454 fol. 1v (v. p. 2.) 2) l. *ἑπτάπεκτον αἶγα.*

## I. MARGITES.

Aristot. Poet. 4 p. 1448[b] 28 sqq.: *Τῶν μὲν οὖν πρὸ Ὁμήρου οὐδενὸς ἔχομεν εἰπεῖν τοιοῦτον ποίημα* (sc. *μίμησιν τῶν φαύλων*), *εἰκὸς δὲ εἶναι πολλούς· ἀπὸ δὲ Ὁμήρου ἀρξαμένοις ἔστιν, οἷον ἐκείνου ὁ Μαργίτης καὶ τὰ τοιαῦτα, ἐν οἷς καὶ τὸ ἁρμόττον ἰαμβεῖον ἦλθε μέτρον .......... ὥσπερ δὲ καὶ τὰ σπουδαῖα μάλιστα ποιητὴς Ὅμηρος ἦν ..... οὕτω καὶ τὰ τῆς κωμῳδίας σχήματα πρῶτος ὑπέδειξεν, οὐ ψόγον ἀλλὰ τὸ γελοῖον δραματοποιήσας· ὁ γὰρ Μαργίτης ἀνάλογον ἔχει, ὥσπερ Ἰλιὰς καὶ Ὀδύσσεια πρὸς τὰς τραγῳδίας, οὕτω καὶ οὗτος πρὸς τὰς κωμῳδίας.*

Hephaest. p. 112 Gaisf. (122 ed. Lips.): *Μετρικὰ δὲ ἄτακτα, ὅσα ἐκ μέτρων μὲν ὁμολογουμένων συνέστηκε, τάξιν δὲ καὶ ἀνακύκλησιν οὐκ ἔχει οὔτε κατὰ στίχον οὔτε κατὰ συστήματα, οἷός ἐστιν ὁ Μαργίτης ὁ εἰς Ὅμηρον ἀναφερόμενος, ἐν ᾧ παρέσπαρται τοῖς ἔπεσιν ἰαμβικὰ καὶ ταῦτα οὐ κατ' ἴσον σύστημα.* Cf. p. 119 sq. (129 Lips.): *Μετρικὰ δὲ ἄτακτά ἐστιν, ἅπερ μέτρῳ μὲν γέγραπταί τινι, οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα οὔτε ἀνακύκλησιν· ........ τοιοῦτός ἐστι καὶ ὁ Μαργίτης Ὁμήρου· οὐ γὰρ τεταγμένῳ ἀριθμῷ ἐπῶν τὸ ἰαμβικὸν ἐπιφέρεται.* Mar. Victor. Art. Grammat. Lib. I. p. 2512 Putsch. 68 Keil. In eo carmine, cui Margitae nomen est, eundem herois hexametris trimetros iambicos tamquam pares numero miscuisse viderit. Cf. Lib. II. p. 2524 Putsch. 79 Keil. Hexametro dactylico trimeter iambicus comparatur, quem latine senarium nominamus, veluti hexametron: sex enim pedes iambos habet, ut ille dactylos, cum uterque purus ex se

figuratur ...... ideoque dicitur et Homerus in Margite suo miscuisse hos versus tamquam pares. Lib. III, p. 2572 Putsch. 133 Keil. Hoc genere versuum (senario), ut supra diximus, primus usus est Homerus in Margite suo, nec tamen totum carmen ita digestum perfecit. Nam duobus pluribusve hexametris antepositis istum subiciens copulavit. — Cf. Atil. Fort. p. 2692 Putsch. 286 Keil. (v. infra fragm. I.).

---

De auctore. Carmen Homero tribuunt Plato Alc. II p. 147 C. Aristot. l. l. Harpocrat. v. *Μαργίτης*. Schol. ad Aristoph. Av. 913. alii. Cf. Dion. Chrysost. Or. 53 § 4 (II, p. 275 Reisk.): *Γέγραφε δὲ καὶ Ζήνων ὁ φιλόσοφος εἴς τε τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν, καὶ περὶ τοῦ Μαργίτου δέ· δοκεῖ γὰρ καὶ τοῦτο τὸ ποίημα ὑπὸ Ὁμήρου γεγονέναι νεωτέρου καὶ ἀποπειρωμένου τῆς αὐτοῦ φύσεως πρὸς ποίησιν.* Cert. Homer. et Hesiod. p. 313 Goettl. 4 Nietzsche. *Κολοφώνιοι δὲ καὶ τόπον δεικνύουσιν, ἐν ᾧ φασιν αὐτὸν (Ὅμηρον) γράμματα διδάσκοντα τῆς ποιήσεως ἄρξασθαι καὶ ποιῆσαι πρῶτον τὸν Μαργίτην.* Suid. v. *Πίγρης* (II, 2 p. 267 Bernh.): *Κὰρ ἀπὸ Ἁλικαρνασοῦ, ἀδελφὸς Ἀρτεμισίας τῆς ἐν τοῖς πολέμοις διαφανοῦς, Μαυσώλου γυναικός· ὃς τῇ Ἰλιάδι παρενέβαλε κατὰ στίχον ἐλεγεῖον .... ἔγραψε καὶ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην.*[1]) Gramm. ap. Cram. An. Oxon. IV, p. 315 de generibus artis criticae disserens (v. supra

---

1) Procl. Chrestom. I. *προστιθέασι δὲ αὐτῷ* (Homero) *καὶ παίγνιά τινα, Μαργίτην* [*οἱ δὲ λέγουσι Τήγρητος τοῦ Καρὸς* margo rubrica] *κτλ.*

p. 16): Ἕκτον κρίσις ποιημάτων· πολλὰ γὰρ νοθευόμενά ἐστιν, ὡς ...... ὁ Μαργίτης.

De carminis argumento. Harpocrat. v. Μαργίτης· Μαρσύας ἐν ε′ τῶν περὶ Ἀλεξάνδρου ἱστορεῖ λέγων Μαργίτην ὑπὸ Δημοσθένους καλεῖσθαι τὸν Ἀλέξανδρον. ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτω διὰ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην, ὅπερ ποίημα Καλλίμαχος θαυμάζειν ἔοικεν. Cf. Schol. ad Aristot. Eth. Nic. VI, 7. Plutarch. Demosth. 23. Suid. v. Μαργίτης (II, 1 p. 695, 14 Bernh.) ἀνὴρ ἐπὶ μωρίᾳ κωμῳδούμενος. Eustath. p. 1669 Rom. (cf. infra ad fragm. V.): Οὕτως ἔγνωμεν καὶ τὸν ἄφρονα Μαργίτην τὸν ἀπὸ τοῦ μαργαίνειν ὅ ἐστι μωραίνειν. Lucian. Philops. 3: ὃς δ' ἂν οὖν ταῦτα καταγέλαστα ὄντα μὴ οἴηται ἀληθῆ εἶναι, ἀλλ' ἐμφρόνως ἂν ἐξετάζων ταῦτα Κοροίβου[1]) τινὸς ἢ Μαργίτου νομίζοι τὸ πείθεσθαι ἢ Τριπτόλεμον ἐλάσαι διὰ τοῦ ἀέρος κτλ., ubi cf. Schol. (p. 224 Jacobitz: ὁ δὲ Μαργίτης μωρὸς καὶ αὐτὸς τὰ κύματα μετρεῖν ἐπιχειρῶν). Id. Hermot. 17: ὁρᾷς, ὅπως αὖθις ἐξαπατᾷς με καὶ οὐ λέγεις τἀληθές, ἀλλ' οἴει Μαργίτῃ διαλέγεσθαί τινι, ὡς πιστεῦσαι κτλ. Cf. Polyb. XII 25 (p. 840 Hultsch). XII 4ª (p. 813 Hultsch = Tom. II, p. 727 Bekk.).

---

Subsidia. Falbe De Margita Homerico (1798). Lindemann Lyra (1821) I, p. 79 sqq. Welcker Cycl. ep. I (1835), p. 184 sqq. Goettling De Margita Homerico. Jenae 1863.

---

1) Cf. Eustath. ad Od. p. 1669, 46 Rom. 413 Bas. Etym. M. p. 577, 33.

1.

Ἦλθέ τις εἰς Κολοφῶνα γέρων καὶ θεῖος ἀοιδός,
Μουσάων θεράπων καὶ ἑκηβόλου Ἀπόλλωνος,
φίλης ἔχων ἐν χερσὶν εὔφθογγον λύρην.

Atil. Fortunat. p. 2692 Putsch. 286 Keil. [Scriptt. rei metricae p. 342 Gaisf.] Sequitur ut de iambico dicere debeamus, cuius auctorem alii Archilochum, alii Hipponactem volunt. Sed primus Homerus hoc usus est in Margite. „Ἦλθε — λύρην." Fragmentum „de heroo hexametro" in Cod. Berolin. 66, olim Santen. (Gramm. Lat. VI, p. 633 Keil): Haec dissyllaba verba producta ter singula faciunt spondeis sex heroum versum, et rursum eadem [et] correptis prioribus utriusque verbi syllabis faciunt iambicum senarium. ideoque dicitur Homerus in Margite suo miscuisse hos versus tamquam pares. „Ἦλθε — λύρην." V. 2 affert Schol. ad Aristoph. Av. 913.

2.

Τὸν δ' οὔτ' ἂρ σκαπτῆρα θεοὶ θέσαν οὔτ' ἀροτῆρα
οὔτ' ἄλλως τι σοφόν, πάσης δ' ἡμάρτανε τέχνης.

Arist. Eth. Nicom. VI, 7 p. 1141$^{a}$ 12 sqq.: εἶναι δέ τινας σοφοὺς οἰόμεθα ὅλως οὐ κατὰ μέρος οὐδ' ἄλλο τι σοφούς, ὥσπερ Ὅμηρός φησιν ἐν τῷ Μαργίτῃ „τὸν — σοφόν". Cetera servavit Clem. Al. Strom. I p. 121 (281 A) Sylb. 330 Pott.

---

Fragm. I. E cod. Berol. 66 primum edidit Lindemann Lyra I, p. 82. cf. Welcker Mus. Rhen. N. S. XI (1856) p. 503. — Corruptelas Mss. vide ap. Keil. et Gaisford. — 3. φίλην — λύραν cod. Atilii ap. Gaisf.

3.

*Πόλλ' ἠπίστατο ἔργα, κακῶς δ' ἠπίστατο πάντα.* Plat. Alcib. II p. 147 A: *ξυμβαίνειν μοι δοκεῖ καὶ ἐνταῦθα τὸ τοῦ ποιητοῦ, ὅ λέγει κατηγορῶν πού τινος, ὡς ἄρα πολλὰ μὲν ἠπίστατο ἔργα, κακῶς δέ, φησίν, ἠπίστατο πάντα,* et paullo infra (p. 147 C): *οὐ γὰρ δήπου Ὅμηρόν γε τὸν θειότατόν τε καὶ σοφώτατον ποιητὴν ἀγνοεῖν δοκεῖς, ὡς οὐχ οἷόν τε ἦν ἐπίστασθαι κακῶς. ἐκεῖνος γάρ ἐστιν ὁ λέγων τὸν Μαργίτην πολλὰ μὲν ἐπίστασθαι, κακῶς δέ, φησί, πάντα ἠπίστατο.*

4.

Tzetz. Chil. IV, 867 sqq. *Ἄκουε τὸν Μαργίτην,* | *εἰς ὃν ὁ γέρων Ὅμηρος ἡρωιάμβους γράφει·* | *οὗτος ὢν γέρων νουνεχής, αὐτόχρημα νοῦς, φρένες,* | *ἐξανηρώτα, τίς αὐτὸν ἐγκυμονήσας βρέφος* | *ἐκ τῆς γαστρὸς ἐγέννησεν, ἆρ' ὁ πατὴρ ἢ μήτηρ.* Cf. VI, 595 sqq. *Οὗτος πανφρονιμώτατος ὢν γέρων ὁ Μαργίτης κτλ.* Niceph. Blemm. in Maii Vett. Scriptt. nov. coll. II. p. 641: *διαπορῶν ἠρώτα ὁπότερος τῶν γονέων αὐτὸν ἐγέννησεν.* Cf. Suid. v. *Μαργίτης* (infra ad Fr. 5).

5.

Eust. ad Od. p. 1669, 47 sqq. Rom. 413 Bas. *Οὕτως ἔγνωμεν καὶ τὸν ἄφρονα Μαργίτην τὸν ἀπὸ τοῦ μαργαίνειν ὅ ἐστι μωραίνειν. ὃν ὁ ποιήσας τὸν ἐπιγραφόμενον Ὁμήρου Μαργίτην ὑποτίθεται εὐπόρων μὲν εἰς ὑπερβολὴν γονέων φῦναι, γήμαντα δὲ μὴ συμπεσεῖν τῇ νύμφῃ, ἕως ἀναπεισθεῖσα ἐκείνη τετραυματίσθαι τὰ κάτω ἐσκήψατο, φάρμακόν τε μηδὲν ὠφε-*

λήσειν ἔφη, πλὴν εἰ τὸ ἀνδρεῖον αἰδοῖον ἐκεῖ ἐφαρμοσθείη· καὶ οὕτω θεραπείας χάριν ἐκεῖνος ἐπλησίασεν[1]). Suid. v. Μαργίτης (II, 1, p. 695, 14 Bernh.) Ἀνὴρ ἐπὶ μωρίᾳ κωμῳδούμενος· ὅν φασιν ἀριθμῆσαι μὲν μὴ πλείω τῶν ε΄ δυνηθῆναι, νύμφην δὲ ἀγόμενον μὴ ἅψασθαι αὐτῆς, ἀλλὰ φοβεῖσθαι λέγοντα, μὴ τῇ μητρὶ αὐτὸν διαβάλῃ· ἀγνοεῖν δὲ νεανίαν ἤδη γεγενημένον καὶ πυνθάνεσθαι τῆς μητρός, εἴ γε ἀπὸ τοῦ αὐτοῦ πατρὸς ἐτέχθη. Dio Chrysost. Or. 67 § 4 (II, p. 362 Reisk.) Πολύ γε ἂν εἴη τοῦ Μαργίτου σοφώτερος ἀγνοοῦντος, ὅτι χρὴ γήμαντα χρῆσθαι τῇ γυναικί.

---

## II. CERCOPES.

Procl. Chrestom. I[2]) ...... προστιθέασι δὲ αὐτῷ (Homero) καὶ παίγνιά τινα, ...... Κέρκωπας. Pseudo-Herodot. Vita Hom. § 24 p. 12 sq. Westerm. Τοὺς Κέρκωπας καὶ Βατραχομυομαχίην καὶ Ψαρομαχίην καὶ Ἑπταπακτικὴν[3]) καὶ Ἐπικιχλίδας καὶ τἆλλα πάντα, ὅσα παίγνιά ἐστιν Ὁμήρου, ἐνταῦθ' ἐποίησε παρὰ τῷ Χίῳ ἐν Βολισσῷ, ὥστε καὶ ἐν τῇ πόλει περιβόητος ἤδη ἐγένετο τῇ ποιήσει. Cf. Harpocrat. v. Κέρκωπες (cf. infra).

S u b s i d i a. Lobeck De Cercop. et Colalis. 1820. [Aglaopham. p. 1296—1308.] — Hüllmann De Cyclop. et Cercop. — Rigler De Hercule et Cercopibus. Colon. 1825. 1826.

---

1) Hanc narrationem poetae abiudicat Thirlwall Hist. Gr. Vol. VI, p. 104 n. 1. 2) Cod. Marc. 454 fol. 1v. (supra p. 2). 3) Intellige ἑπτάπεκτον αἶγα.

FRAGMENTUM.

*Ψεύστας ἠπεροπῆας ἀμήχανά τ' ἔργα δαέντας*
*ἐξαπατητῆρας· πολλὴν δ' ἐπὶ γαῖαν ἰόντες*
*ἀνθρώπους ἀπάτασκον ἀλώμενοι ἤματα πάντα.*

Suid. v. *Κέρκωπες* (Vol. II, 1 p. 222 Bernh.): *πανοῦργοι, δόλιοι, ἀπατεῶνες, κόλακες ....... φασὶ δὲ τοὺς Κέρκωπας γενέσθαι* „*ψεύστας — πάντα*“. Cf. p. 221. *Κέρκωπες· δύο ἀδελφοὶ ἦσαν ἐπὶ γῆς, πᾶσαν ἀδικίαν ἐπιδεικνύμενοι, καὶ ἐλέγοντο Κέρκωπες, ἐκ τῆς τῶν ἔργων δεινότητος οὕτως ἐπονομαζόμενοι. ὁ μὲν γὰρ αὐτῶν Πάσσαλος ἐλέγετο, ὁ δὲ Ἄκμων. ἡ δὲ μήτηρ Μεμνονὶς ταῦτα ὁρῶσα ἔλεγε, μὴ περιτυχεῖν Μελαμπύγῳ· τουτέστι τῷ Ἡρακλεῖ.* Cf. Suid. v. *Εὐρύβατος.* (I, 2 p. 645 Bernh.) Harpocrat. v. *Κέρκωψ: Ἐν τοῖς εἰς Ὅμηρον ἀναφερομένοις Κέρκωψι δηλοῦται ὡς ἐξαπατητῆρές τε ἦσαν καὶ ψεῦσται οἱ Κέρκωπες*, unde colligi potest versus a Suida allatos ex Homeri Cercopibus desumptos esse.

---

## INCERTAE SEDIS FRAGMENTA.

Homero tribuuntur versus nonnulli, qui in hodiernis poetae editionibus non reperiuntur. [Cf. Wolf. Proleg. p. 37 not. 7. Welcker Cycl. ep. I p. 133 n. 153. Bode Hist. poes. graec. I p. 289.]

1.

*Ὣς οἳ μὲν δαίνυντο βοῶν κρέα, καὐχένας ἵππων*

---

Cercop. Fragm. 1. *ἔργ' ἐάσαντας* Suid. *ἔργ' ἀνύσαντας* Küster, *ἔργα δαέντας* Lobeck. „Sed fortasse latet singularis vocis fabrica: quasi ludere velis *ἐργασιῶντας*.“ Bernh.

Incert. sed. Fragmm. I. 1. *δεῖπνον ἔπειθ' εἵλοντο βοῶν κτλ.*

*ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμοιο κόρεσθεν.*
*θωρήσσοντ' ἄρ' ἔπειτα πεπαυμένοι .........*
*πύργων δ' ἐξεχέοντο, βοὴ δ' ἄσβεστος ὀρώρει.*

Aristoph. Pac. 1282—3. 1286—7. (*Παῖς Λαμάχου*, postquam versus Homericos Il. *Γ* 15, *Δ* 447 + 448 [*σύν ῥ' ἔβαλον ῥινούς τε καὶ ἀσπίδας ὀμφαλοέσσας*], 450 laudavit, sic pergit:) „*Ὣς οἱ μὲν — ἐκόρεσθεν .......... θωρήσσοντ' — πεπαυμένοι ..... πύργων — ὀρώρει*". V. 1, 2 leguntur in Cert. Hom. et Hes. p. 316 Goettl. 9 Nietzsche.

2.

*Ὡς δ' ὁπότ' ἀσπάσιον ἔαρ ἤλυθε βουσὶν ἕλιξιν.*

Hippocr. de articulis VI, p. 784 H — 785 B Foes. [Tom. III, p. 145 Kühn.] *Καλῶς γὰρ Ὅμηρος καταμεμαθήκει ὅτι πάντων τῶν προβάτων βόες ὅτι μάλιστα πονέουσι ταύτην τὴν ὥρην* (sc. *τοῦ χειμῶνος τελευτῶντος*), *καὶ βοῶν οἱ ἀρόται, ὅτι κατὰ τὸν χειμῶνα ἐργάζονται ...... οὗτοι γὰρ μάλιστα λεπτύνονται. τὰ μὲν γὰρ ἄλλα βοσκήματα δύναται βραχεῖαν τὴν πόην βόσκεσθαι, βοῦς δὲ οὐ μάλα πρὶν βαθεῖα γένηται ...... διὰ τοῦτο οὖν ἐποίησεν ὧδε τάδε τὰ ἔπη·* „*ὡς — ἕλιξιν*", *ὅτι ἀσμενωτάτη τοῖσι αὐτοῖσιν ἡ βαθεῖα ποίη φαίνεται.*

3.

*Ἥμεροι οἵ γε δίκαιοι.*

Plato Gorg. p. 516 C. *οὐκοῦν οἵ γε δίκαιοι ἥμεροι ὡς ἔφη Ὅμηρος.*

---

Cod. (Flor.) Cert. Hom. et Hes. — 2. *πολέμου ἐκόρ.* Aristoph. *πτολέμου κορέσθην* Cod. (Flor.) Cert., *πολέμοιο κορέσθην* Stephanus, *πολέμοιο κόρεσθεν* Herm. Opusc. VI, p. 282. Westerm. Nietzsche.

4.

*Ἀλλ' οἷον μέν ἐστι καλεῖν ἐπὶ δαῖτα θάλειαν.*

Aristot. Polit. V (vulgo VIII), 3 p. 1338ª 24: Ὅμηρος οὕτως ἐποίησεν „ἀλλ' οἷον — θάλειαν". καὶ οὕτω προειπὼν ἑτέρους τινάς, οἳ καλέουσιν „ἀοιδόν" φησιν, „ὅ κεν τέρπῃσιν ἅπαντας".[1])

5. 6.

*Χαλκῷ ἀπὸ ψυχὴν ἀρύσας.*

---

*Τεμὼν .... ἀτειρέι χαλκῷ.*

Aristot. Poet. 21 p. 1457ᵇ 13 sq.: Ἀπ' εἴδους δὲ ἐπὶ εἶδος, οἷον „χαλκῷ — ἀρύσας" καὶ „τεμὼν — χαλκῷ".

7.

*Πὰρ γὰρ ἐμοὶ θάνατος.*

Aristot. Polit. III, 14 p. 1285ª 10: δηλοῖ δ' Ὅμηρος· Ἀγαμέμνων γὰρ κακῶς μὲν ἀκούων ἠνείχετο ἐν ταῖς ἐκκλησίαις, ἐξελθόντων δὲ καὶ κτεῖναι κύριος ἦν. λέγει γὰρ „ὃν δέ κ' ἐγὼν ἀπάνευθε μάχης φεύγοντα νοήσω .... οὔ οἱ .... ἄρκιον ἐσσεῖται φυγέειν κύνας ἠδ' οἰωνούς (cf. Il. **B** 391—3)· πὰρ γὰρ ἐμοὶ θάνατος".

---

Fragm. IV. Hunc versum in Aristotelis exemplaribus post Hom. Od. ρ 383 lectum fuisse coni. Spengel; v. Susemihl ad loc. μέν ἐστι] Locus nondum emendatus. μήν Schneid., μέν γ' Goettl. μέν τ' Spengel. — θάλειαν] Legebatur θαλείην.

1) „Hom. Od. XVII, 385, ubi nunc pro ἅπαντας legitur ἀείδων". Sus.

Fragmm. V VI. χαλκῷ ἀπὸ ψυχὴν ἀερύσασκε τεμὼν (vel ἀερείσας μετ' ἐμῶν) ἀτειρεῖ (ἀτηρεῖ al.) χ. codd. Veram lect. restituerunt editores recentiores.

8.

Μῦσεν δὲ περιβροτόεσσα
ὠτειλή.

(Aristot. ap.) Schol. Vict. ad Il. Ω 420: ἀδύνατον νεκρῶν τραύματα μύειν, ὥς φησιν Ἀριστοτέλης εἰρηκέναι Ὅμηρον „μῦσεν — ὠτειλή“. τοῦτο δὲ τὸ ἡμιστίχιον οὐδὲ φέρεται.

BIBLIOTHECA BODLEIANA

9.

Φήμη δ' ἐς στρατὸν ἦλθε.

Aeschines contr. Timarch. § 128. cf. p. 48.

10.

Βουλῇ καὶ μύθοισι καὶ ἠπεροπηίδι τέχνῃ.

Strab. I, p. 17. Οὗτος δ' ὁ πτολίπορθος ἀεὶ λεγόμενος καὶ τὸ Ἴλιον ἑλὼν „βουλῇ — τέχνῃ“. Polyaen. Praef. Οἱ δ' ἥρωες καὶ τὴν νίκην αὐτῷ ἀνῆψαν· „σῇ δ' ἥλω βουλῇ Πριάμου πόλις εὐρυάγυια“ (Od. χ 230) καὶ ἀλλαχοῦ ἄλλοι πάλιν αὖ μαρτυροῦσιν ἁλῶναι τὸ Ἴλιον Ὀδυσσέως „βουλῇ — τέχνῃ“. Stob. Floril. LIV. 48 [II p. 348 Gaisf. ed. Lips.] Ἀλέξανδρος ἐρωτηθεὶς ὑπό τινος πῶς ἐν ὀλίγῳ χρόνῳ τῆς οἰκουμένης ἐκυρίευσεν, εἶπε· „βουλῇ — τέχνῃ“.

11.

Ἦμος ὅτ' αἰζηοὶ Δημήτερα βωλοτομεῦσι.

[Dionys. Halic.] de Homeri poesi (opusc. mythol. ed. Gale. Amstel. 1688. p. 296). Ἔστι δὲ καὶ ἄλλος τρόπος ἡ

---

Fragm. VIII. περὶ βροτόεσσα Spitzner.
Fragm. XI. τῆμος ὅτ' — κωλοτομεῦσιν Plut.

μετωνυμία, λέξις ἐπ' ἄλλου κυρίως κειμένη, ἄλλο δὲ κατὰ ἀναφορὰν σημαίνουσα· οἷόν ἐστι παρ' αὐτῷ, „Ἦμος — βωλοτομεῦσι". Plut. moral. p. 377 E.

12.

*Φθέγξατο δ' ἡνίοχος νηὸς κυανοπρῴροιο.*

Ibid. p. 294: εἰσὶ δὲ παρ' αὐτῷ μεταφοραὶ ποικίλαι, αἵ μέν, ἀπὸ ἐμψύχων ἐπὶ ἔμψυχα· οἷον „φθέγξατο — κυανοπρῴροιο". Versum sine nomine auctoris affert Anonymus περὶ τρόπων ap. Boisson. Anecd. Gr. III p. 286.

13.

*Δωρήσω τρίποδα χρυσούατον.*

Ibid. p. 309: τὸ ἐνεργητικὸν ἀντὶ τοῦ παθητικοῦ, „δωρήσω — χρυσούατον", ἀντὶ τοῦ δωρήσομαι.

14.

*Γρυνοὶ μὲν δαίοντο, μέγας δ' Ἥφαιστος ἀνέστη.*

Scholl. vett. ad Lycophr. 86: λεύσσω θέοντα γρυνόν] γρυνὸς γάρ ἐστιν ὁ κορμός· καὶ Ὅμηρος· „γρυνοὶ — ἀνέστη". Eadem habet Tzetz. ad loc. — Sine nomine auctoris versus laudatur ab Etym. M. p. 241, 56.

15.

*Λόγχη συρίζουσα.*

Serv. ad Verg. Aen. XII, 691 Striduntque hastilibus aurae] Homerus, συρίζουσα λόγχη.

---

Fragm. XIV. γρυνοὶ] Sic Schol. vett. ad Lycophr. [v. p. 29]; γρουνοὶ Etym. M., γρουνὸν Tzetz.

16.

Prob. ad Verg. Georg. II, 506 p. 53 Keil. Tyron enim Sarram appellatam Homerus docet, quem etiam Ennius sequitur auctorem, cum dicit Poenos Sarra oriundos.

17.

*Βαρύβρομα θωύσσοντες.*

Suid. v. θωύσσοντες (I, 2 p. 1202 Bernh.)· ὑλακτοῦντες. Ὅμηρος „βαρύβρομα θωύσσοντες".

---

Fragmenta falsa. Etym. Gud. v. δαΐφρων p. 133, 19 κουριδίης ἀλόχοιο δαΐφρονος Πηνελοπείης [! Cf. Od. ο 356 κουριδίης τ' ἀλόχοιο δαΐφρονος], unde sua habent Eustath. ad Od. p. 1939, 26 Rom. 803 Bas. Etym. M. p. 245, 14. — ἑξάετες ἤνασσεν (Etym. M. p. 346, 29) = Od. γ 305 (ἑπτάετες δ' ἤνασσε), λιγνὺν αἰθαλόεσσαν (Etym. M. p. 565, 27) ad κόνιν αἰθαλόεσσαν [Σ 23, ω 316] spectare videtur, τλήμονα θυμὸν ἔχοντες (Schol. ad Eur. Hec. 198) = Il. Ε 670, γάννυται δέ τ' ἀκούων (Xen. Symp. VIII. 30) = Il. Τ 405, πυκινὰ φρεσὶ μήδεα εἰδώς (Xen. l. l.) = Il. Ρ 325, φοινίσσετο δ' αἵματι γαῖα (Suid. v. Φοινικικῶν II, 2 p. 1563 Bernh.) = Il. Κ 484, εἰς ἅλα πορφυρόεσσαν (Serv. ad Verg. Georg. IV, 373) ad Od. λ 243 pertinet, etc. etc.

In aliorum invasit poetarum possessiones Homerus Schol. Pind. Nem. VI 91 p. 472 Boeckh. [= Hes. Opp. 412], Clem. Strom. II p. 506 Pott. (ἡμὲν ὅτ' εὐνάζῃ κτλ. = Hes. Opp. 339.) alibi.

Versus quatuor ab Aristobulo philosopho Iudaeo Homero adscriptos [Clem. Strom. V p. 256 (600 C—D) Sylb. 713 Pott. ἑβδομάτῃ δῆπειτα κατήλυθεν ἱερὸν ἦμαρ, — ἑβδόμη ἦν ἱερή, — ἕβδομον ἦμαρ ἔην, καὶ τῷ τετέλεστο ἅπαντα (cf. Od. ε 262), — ἑβδομάτῃ δ' ἠοῖ λίπομεν ῥόον ἐξ Ἀχέροντος ab Aristobulo ipso fictos esse ostendit Valcken. diss. de Aristobulo Iudaeo p. 116 sqq.

## ALCMAEONIS.

### 1.

*Ἔνθα μὲν ἀντίθεος Τελαμὼν τροχοειδέι δίσκῳ*
*πλῆξε κάρη, Πηλεὺς δὲ θοῶς ἀνὰ χεῖρα τανύσσας*
*ἀξίνῃ εὐχάλκῳ ἐπεπλήγει μέσα νώτων.*

Schol. ad Eur. Andr. 687 *οὐδ' ἂν σε Φῶκον] ὥσπερ ἐγὼ οὐκ ἐφόνευσα τὴν Ἑλένην, οὕτως οὐδὲ σὺ ὤφελες τὸν Φῶκον ἀνελεῖν. καὶ ὁ τὴν Ἀλκμαιωνίδα πεποιηκώς φησι περὶ τοῦ Φώκου „Ἔνθα — νώτων"*. Schol. Vat.: *Ἄλλως. ...... Μίγνυται Αἰακὸς Ψαμάθῃ τῇ Νηρέως εἰς φώκην ἠλλαγμένῃ διὰ τὸ μὴ βούλεσθαι συνελθεῖν αὐτῷ καὶ τεκνοῖ ἐκ ταύτης παῖδα τὸν Φῶκον, ὃν ὁ Πηλεὺς ἀνεῖλεν ἐπιβουλεύσας διὰ τὸ ἐν τοῖς ἀγῶσι διαφέροντα αὐτὸν εἶναι Πηλέως καὶ Τελαμῶνος.*

### 2.

*Νέκυς δὲ χαμαιστρώτου ἔπι τείνας*
*εὐρείης στιβάδος, παρέθηκ' αὐτοῖσι θάλειαν*
*δαῖτα ποτήριά τε στεφάνους τ' ἐπὶ κρασὶν ἔθηκεν.*

Athen. XI, p. 460 B: *Ποτήρια δὲ πρῶτον οἶδα ὀνομάσαντα τὸν Ἀμόργιον ποιητὴν Σιμωνίδην ἐν ἰάμβοις οὕτως .......... καὶ ὁ τὴν Ἀλκμαιωνίδα δὲ ποιήσας φησὶν „Νέκυς — ἔθηκεν"*.

---

Fragm. II. 1. Legebatur *νέκυς δὲ χαμαιστρώτους ἐπί τινας*. — *χαμαιστρώτου ἐπὶ κλίνας* Meineke, *χαμαιστρώτου ἔπι τείνας* Welck. — 2. Legebatur *προέθηκ'* vel *προὔθηκ'*. „Scribendum *παρέθηκ'*, quod epicus usus postulat." Meineke. — 3. *δαῖτα* Fiorillo; *δὲ τὰ* cod. A Athenaei.

3.

*Πότνια Γῆ Ζαγρεῦ τε θεῶν πανυπέρτατε πάντων.*

Etym. Gud. v. *Ζαγρεύς* (p. 227, 37)· *ὁ μεγάλως ἀγρεύων, ὡς „πότνια — πάντων," ὁ τὴν Ἀλκμαιονίδα γράψας ἔφη.* Cram. An. Oxon. II, p. 443.

4.

Apollod. I, 8, 5, 2: *Τυδεὺς δὲ ἀνὴρ γενόμενος γενναῖος ἐφυγαδεύθη, κτείνας, ὡς μέν τινες λέγουσιν, ἀδελφὸν Οἰνέως Ἀλκάθοον, ὡς δὲ ὁ τὴν Ἀλκμεωνίδα*[1]) *γεγραφώς, τοὺς Μέλανος παῖδας ἐπιβουλεύοντας Οἰνεῖ, Φινέα Εὐρύαλον Ὑπέρλαον Ἀντίοχον*[2]) *Εὐμήδην Στέρνοπα Ξάνθιππον Σθενέλαον.*

5.

Strab. X p. 452: *Ὁ δὲ τὴν Ἀλκμαιονίδα γράψας, Ἰκαρίου τοῦ Πηνελόπης πατρὸς υἱεῖς γενέσθαι δύο, Ἀλυζέα καὶ Λευκάδιον, δυναστεῦσαι δ' ἐν τῇ Ἀκαρνανίᾳ τούτους μετὰ τοῦ πατρός· τούτων οὖν ἐπωνύμους τὰς πόλεις Ἔφορος λέγεσθαι δοκεῖ.*

6.

Schol. ad Eur. Or. 997 (Vol. II, p. 251 Dind.): *Ὁ δὲ τὴν Ἀλκμαιωνίδα γράψας τὸν ποιμένα προσαγαγόντα τὸ ποίμνιον τῷ Ἀτρεῖ Ἀντ .......*[3]) *καλεῖ.*

---

Fragm. III. *ὦ πότνια — πανυπέρτατε* Cram. Anecd.

1) *Ἀλκμεωνίδα — Φινέα* Hercher; *ἀλκμαιονίδα — φηνέα* libri. 2) *Ἀντίοχον* Faber; *Ἀντιόχην* libri. 3) *ἀντ .... καλεῖ* vel *ἀνταποκαλεῖ* libri. Excidit nomen pastoris. *Ἀνταῖον, Ἄντανδρον* vel *Ἄντιφον* Bentley Epist. ad Mill. p. 469 ed. Lips. *Ἄντασον* Schubart. Ephem. litt. Hal. 1840. I, p. 515. *Ἄντοπα* Müller de cyclo p. 78.

## DANAIS.

Inscr. in Tab. Borg.[1]): καὶ Δαναΐδας ͵ςφʹ ἐπῶν.

1.

*Καὶ τότ' ἄρ' ὡπλίζοντο θοῶς Δαναοῖο θύγατρες*
*πρόσθεν ἐυρρεῖος ποταμοῦ Νείλοιο ἄνακτος.*

Clem. Al. Strom. IV, p. 224 (522 C) Sylb. 618 Pott. *Τὰ ὅμοια λέγει καὶ ὁ τὴν Δαναΐδα πεποιηκὼς ἐπὶ τῶν Δαναοῦ θυγατέρων ὧδε· „Καὶ — ἄνακτος", καὶ τὰ ἑξῆς.*

2.

Harpocrat. v. *αὐτόχθονες*: *Ὁ δὲ Πίνδαρος καὶ ὁ τὴν Δαναΐδα πεποιηκώς φασιν Ἐριχθόνιον καὶ Ἥφαιστον ἐκ γῆς φανῆναι.*

---

## HESIODUS.

Suid. v. *Ἡσίοδος* [Vol. I, 2 p. 903 Bernh.]: *Ποιήματα δὲ αὐτοῦ ταῦτα· Θεογονία, Ἔργα καὶ Ἡμέραι, Ἀσπίς, Γυναικῶν ἡρωινῶν κατάλογος ἐν βιβλίοις ε΄, Ἐπικήδειος εἰς Βάτραχόν τινα, ἐρώμενον αὐτοῦ, περὶ τῶν Ἰδαίων Δακτύλων, καὶ ἄλλα πολλά.*

Procl. *Γένος Ἡσιόδου* [Gaisf. Poett. minn. Grr. II, p. 7 {8 Lips.}]: *Συνεγράψατο δὲ ὁ τοιοῦτος Ἡσίοδος βίβλους ἑκκαίδεκα, Ὅμηρος δὲ ὁ παλαιὸς ιγ΄.* Et paullo infra (p. 8 {9 Lips.}): *Ἡσιόδου Ἔργα καὶ Ἡμέραι τὸ βιβλίον ἐπιγέγραπται . . . . . πρὸς ἀντιδιαστολὴν τῶν*

---

1) V. p. 4.
Dan. Fragm. I. *Δαναοῖο ἄνακτος πρόσθεν — Νείλοιο θύγατρες.* Koechly Coni. ep. I, p. 11.

ἑτέρων αὐτοῦ πεντεκαίδεκα βιβλίων· Ἀσπίδος, Θεογονίας, Ἡρωογονίας, Γυναικῶν καταλόγου, καὶ τῶν λοιπῶν. Pausan. IX, 31, 4[1]): Βοιωτῶν δὲ οἱ περὶ τὸν Ἑλικῶνα οἰκοῦντες παρειλημμένα[2]) δόξῃ λέγουσιν, ὡς ἄλλο Ἡσίοδος ποιήσαι οὐδὲν ἢ τὰ Ἔργα· καὶ τούτων δὲ τὸ ἐς τὰς Μούσας ἀφαιροῦσι προοίμιον κτλ. ...... Ἔστι δὲ καὶ ἑτέρα κεχωρισμένη τῆς προτέρας, ὡς πολύν τινα ἐπῶν ὁ Ἡσίοδος ἀριθμὸν ποιήσειεν, ἐς γυναῖκάς τε ᾀδόμενα, [καὶ][3]) ἃς μεγάλας ἐπονομάζουσιν Ἠοίας, καὶ Θεογονίαν τε καὶ ἐς τὸν μάντιν Μελάμποδα, καὶ ὡς Θησεὺς ἐς τὸν Ἅιδην ὁμοῦ Πειρίθῳ καταβαίη, παραινέσεις τε Χείρωνος ἐπὶ διδασκαλίᾳ δὴ τῇ Ἀχιλλέως, καὶ ὅσα ἐπὶ Ἔργοις τε καὶ Ἡμέραις. οἱ δὲ αὐτοὶ οὗτοι λέγουσι καὶ ὡς μαντικὴν Ἡσίοδος διδαχθείη παρὰ Ἀκαρνάνων· καὶ ἔστιν ἔπη μαντικά, ὁπόσα [τε] ἐπελεξάμεθα καὶ ἡμεῖς, καὶ ἐξηγήσεις ἐπὶ τέρασιν.

Alia carmina, ab auctoribus laudatis praetermissa, poetae tribuuntur, veluti *Αἰγίμιος* (Steph. Byz. v. *Ἀβαντίς*), *Ἀστρονομία* sive *ἀστρικὴ βίβλος* (Athen., Schol. Arat., Tzetza, Plut., Plinius), *Κήυκος γάμος* (Schol. Apoll. Rhod., Athen.), *Ἐπιθαλάμιον εἰς Πηλέα καὶ Θέτιν* (Tzetza), Carmen bucolicum (Fulgent.) = *Ἔργα μεγάλα* (Procl., Athen. [?]). Cf. Marckscheffel. Hesiodi etc. fragmenta p. 87 sqq.

De Hesiodiae poesis natura. Herodot. II. 53: οὗτοι (sc. Homerus et Hesiodus) δέ εἰσι οἱ ποιήσαντες θεογονίην Ἕλλησι, καὶ τοῖσι θεοῖσι τὰς ἐπωνυμίας

1) Cf. Hesiodi edit. nostr. p. 73. 2) παρειλημμένῃ al. 3) Del. Bekker cum Schleiermachero.

δόντες καὶ τιμάς τε καὶ τέχνας διελόντες, καὶ εἴδεα αὐτῶν σημήναντες.

Max. Tyr. XXXII, 4: (Ὅμηρος) τα ἔπη εἰργάσατο προσηνῆ τε ἅμα εἶναι καὶ ξυνετὰ πᾶσι, καὶ κεχαρισμένα ἑκάστοις. ἐνθυμηθεὶς δὲ ὅτι ὀλίγον μὲν τὸ ξυνετὸν ἐν ἅπαντι, τὸ δὲ πολὺ δημαγωγεῖσθαι φιλεῖ, οὐδετέρῳ τῷ γένει ἀποκεκριμένην τὴν ποίησιν ἐξειργάσατο· καθάπερ ὁ Ἡσίοδος, χωρὶς μὲν τῶν ἡρώων, ἀπὸ γυναικῶν ἀρχόμενος, καταλέγων τὰ γένη, ὅστις ἐξ ἧς ἔφυ· χωρὶς δὲ αὐτῷ πεποίηνται οἱ θεῖοι λόγοι, ἅμα τοῖς λόγοις θεογονία· χωρὶς δ' αὖ ὠφελεῖ τὰ εἰς τὸν βίον, ἔργα τε ἃ δραστέον καὶ ἡμέραι ἐν αἷς δραστέον. Cf. Dio Chrysost. Or. II (de Regno) § 13 sq. (I p. 77 Reisk.) et § 8 (p. 75 Reisk.).

Diomed. p. 480 Putsch. (Gramm. Lat. I. p. 482 Keil.) Exegetici vel enarrativi species sunt tres, angeltice, historice, didascalice. Angeltice est qua sententiae scribuntur, .... historice est qua narrationes et genealogiae conponuntur, ut est Hesiodu γυναικῶν κατάλογος et similia.

Quintil. X. 1. 52. Raro adsurgit Hesiodus magnaque pars eius in nominibus est occupata, tamen utiles circa praecepta sententiae levitasque verborum et compositionis probabilis, daturque ei palma in illo medio genere dicendi.

Dion. Halicarn. de vett. scriptt. censura cap. II, 2. Ἡσίοδος μὲν γὰρ ἐφρόντισεν ἡδονῆς καὶ ὀνομάτων λειότητος καὶ συνθέσεως ἐμμελοῦς. Cf. Vell. Paterc. I. 7.

Aristoph. Ran. 1033 sq. Ἡσίοδος δὲ (κατέδειξε) γῆς ἐργασίας, καρπῶν ὥρας, ἀρότους.

Cert. Homeri et Hesiodi p. 322 Goettl. 17 Nietzsche.

Ὁ δὲ βασιλεὺς τὸν Ἡσίοδον ἐστεφάνωσεν εἰπὼν δίκαιον εἶναι τὸν ἐπὶ γεωργίαν καὶ εἰρήνην προκαλούμενον νικᾶν, οὐ τὸν πολέμους καὶ σφαγὰς διεξιόντα.

Plut. moral. p. 223 A. Κλεομένης ὁ Ἀναξανδρίδεω τὸν μὲν Ὅμηρον Λακεδαιμονίων εἶναι ποιητὴν ἔφη, τὸν δὲ Ἡσίοδον, τῶν εἱλώτων· τὸν μὲν γὰρ ὡς χρὴ πολεμεῖν, τὸν δὲ ὡς χρὴ γεωργεῖν, παρηγγελκέναι. Cf. Aelian. V. Hist. XIII, 18. Schol. ad Od. o 74 χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν] ἐν πολλοῖς οὐκ ἐφέρετο. καὶ ἔστιν Ἡσιόδειος τῆς φράσεως ὁ χαρακτήρ.

De poetae aetate. Herodot. II, 53. Ἡσίοδον γὰρ καὶ Ὅμηρον ἡλικίην τετρακοσίοισι ἔτεσι δοκέω μευ πρεσβυτέρους γενέσθαι, καὶ οὐ πλέοσι.

Suid. v. Ἡσίοδος (I, 2 p. 903 sq. Bernh.). Ἦν δὲ Ὁμήρου κατά τινας πρεσβύτερος, κατὰ δὲ ἄλλους σύγχρονος. Πορφύριος καὶ ἄλλοι πλεῖστοι νεώτερον ἑκατὸν ἐνιαυτοῖς ὁρίζουσιν· ὡς λβʹ μόνους ἐνιαυτοὺς συμπροτερεῖν τῆς πρώτης Ὀλυμπιάδος. Cf. Tzetz. Chil. XII, 163 sqq. 196 sqq. XIII, 649 sq. Procl. Γένος Ὁμήρου [Gaisf. Poett. minn. Grr. II, p. 6 sq. {7 Lips.}]

Vell. Paterc. I. 7. Hesiodus .... circa CXX annos distinctus ab Homeri aetate.

Gell. N. A. III. 11, 1. Super aetate Homeri atque Hesiodi non consentitur. Alii Homerum, quam Hesiodum, maiorem natu fuisse scripserunt, in quis Philochorus et Xenophanes; alii minorem, in quis L. Accius poeta et Ephorus historiae scriptor. M. autem Varro in primo de imaginibus, uter prior sit natus, parum constare dicit, sed non esse dubium, quin aliquo tempore eodem vixerint, idque ex epigrammate ostendi, quod in tripode scriptum

est, qui in monte Helicone ab Hesiodo positus traditur. Accius autem in primo didascalico levibus admodum argumentis utitur, per quae ostendi putat, Hesiodum natu priorem. — XVII, 21, 3: De Homero et Hesiodo inter omnes fere scriptores constitit, aetatem eos egisse vel isdem fere temporibus vel Homerum aliquanto antiquiorem, utrumque tamen ante Romam conditam vixisse, Silviis Albae regnantibus, annis post bellum Troianum, ut Cassius in primo annalium de Homero atque Hesiodo scriptum reliquit, plus centum atque sexaginta ante Romam autem conditam, ut Cornelius Nepos in primo chronico de Homero dicit, annis circiter centum et sexaginta.

---

## AEGIMIUS.

Valckenaer. ad Eur. Phoen. p. 735: „Patrem poëmatis veterrimi meliores critici, dum silent, ignorare se fatebantur: nonnulli tribuerunt illud vel Hesiodo vel Cercopi Milesio. Aegimius Herculi vicem retulerat accepti beneficii: huic inscriptum poëma complectebatur procul dubio bellum Aegimii cum Lapithis; Aegimii filiorumque duorum, ad quos tertius Hyllus accessit Heraclides, historiam. Alii quidem attigerunt hoc poëma; sed diligenter egit atque eleganter de Aegimio Henr. Valesius Emend. I, cap. XXXII“. Cf. Apollod. II, 7, 7. Diod. IV, 37. Müller Dor. I, p. 28. Welck. Cycl. ep. I, p. 263—267.

1.

Schol. Laur. ad Apoll. Rhod. III, 587: *Ἀγγελόν φησιν Ἑρμῆν ὑπὸ Διὸς πεμφθῆναι, κελεύοντα δέξασθαι τὸν Φρίξον, ἵνα τὴν Αἰήτου θυγατέρα γήμῃ. ὁ δὲ τὸν Αἰγίμιον ποιήσας διὰ [τὸ] δέρας αὐτὸν αὐθαιρέτως φησὶ προσδεχθῆναι. λέγει δὲ ὅτι μετὰ τὴν θυσίαν*

*ἀγνίσας τὸ δέρας οὕτως ἔστειχεν εἰς τοὺς Αἰήτου δόμους τὸ κῶας ἔχων.*

2.

Schol. Laur. ad Apoll. Rhod. IV, 816: *Ὁ τὸν Αἰγίμιον ποιήσας ἐν δευτέρῳ φησὶν ὅτι ἡ Θέτις εἰς λέβητα ὕδατος ἔβαλλεν τοὺς ἐκ Πηλέως γεννωμένους, γνῶναι βουλομένη εἰ θνητοί εἰσιν, ἕτεροι*[1]) *δὲ εἰς πῦρ, ὡς Ἀπολλώνιός φησι· καὶ δὴ πολλῶν διαφθαρέντων ἀγανακτῆσαι τὸν Πηλέα καὶ κωλῦσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα [καὶ διὰ τοῦτο καταλιπεῖν τὴν Θέτιν αὐτόν]*[2]).

3.

*Νήσῳ ἐν Ἀβαντίδι δίῃ·*
*τὴν πρὶν Ἀβαντίδα κίκλησκον θεοὶ αἰὲν ἐόντες,*
*τὴν τότ᾽ ἐπώνυμον Εὔβοιαν βοὸς ὠνόμασε Ζεύς.*

Herodian. [I p. 104] ap. Steph. Byz. v. *Ἀβαντίς· ἡ Εὔβοια, ὡς Ἡσίοδος ἐν Αἰγιμίου δευτέρῳ περὶ Ἰοῦς „νήσῳ — Ζεύς"*.

4.

*Ἐκ τοῦ δ᾽ ὅρκον ἔθηκεν ἀμείνονα ἀνθρώποισι*
*νοσφιδίων ἔργων πέρι Κύπριδος.*

Schol. ad Plat. Symp. p. 374 Bekk: *Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος*[3]), *ἐπὶ τῶν δι᾽ ἔρωτα ὀμνυόντων πολλάκις*

---

1) *ἑτέρους* Cod. Laur.; corr. Koechly Coni. ep. I, p. 13. 2) Quae uncinis inclusimus, e cod. Par. accesserunt. 3) „Videtur *παροιμία* excidisse, quo referatur sequens *ταύτης*". Marcksch.

Fragm. III. 3. *ὠνόμασέν νιν Ζεύς* libri. *Εὔβοιαν δὲ βοὸς τότ᾽ ἐπώνυμον ὠνόμασε Ζεύς* Herm., *δὴ τότε γ᾽ Εὔβοιάν μιν ἐπώνυμον ὠνόμασε Ζεύς* Meineke.

Fragm. IV. 1. *ἀπήμονα* Herm. Opusc. VI, p. 257. — 2. *πέρι* Marcksch.; *περὶ* Schol.

καὶ ἐπιορκούντων. μέμνηται δὲ ταύτης καὶ Ἡσίοδος λέγων „ἐκ — Κύπριδος [ἀφροδισίων]“[1]). Hunc locum huc pertinere discimus ex Hesych. v. ἀφροδίσιος ὅρκος[2])· παροιμία, ἣν καὶ ἀναγράφουσιν· Ἀφροδίσιος ὅρκος οὐ δάκνει. πρῶτος δὲ Ἡσίοδος ἔπλασε τὰ περὶ τὸν Δία καὶ τὴν Ἰώ, coll. fragm. 5 et Apollod. II, 1, 3, 1 sq.: Ἡσίοδος δὲ καὶ Ἀκουσίλαος Πειρῆνος αὐτήν (sc. τὴν Ἰὼ) φασιν εἶναι.[3]) ταύτην ἱερωσύνην τῆς Ἥρας ἔχουσαν Ζεὺς ἔφθειρε. φωραθεὶς δὲ ὑφ' Ἥρας τῆς μὲν κόρης ἁψάμενος εἰς βοῦν μετεμόρφωσε λευκήν, ἀρχὴν δὲ ἀπωμόσατο μὴ συνελθεῖν. διό φησιν Ἡσίοδος οὐκ ἐπισπᾶσθαι τὴν ἀπὸ τῶν θεῶν ὀργὴν τοὺς γινομένους ὅρκους ὑπὲρ ἔρωτος. Ἥρα δὲ αἰτησαμένη κτλ. (cf. fr. 5).

5.

*Καί οἱ ἐπίσκοπον Ἄργον ἵει κρατερόν τε μέγαν τε,*
*τέτρασιν ὀφθαλμοῖσιν ὁρώμενον ἔνθα καὶ ἔνθα,*
*ἀκάματον δέ οἱ ὦρσε θεὰ μένος, οὐδέ οἱ ὕπνος*
*πῖπτεν ἐπὶ βλεφάροις, φυλακὴν δ' ἔχεν ἔμπεδον αἰεί.*

Schol. ad Eur. Phoen. 1116: Ὁ δὲ τὸν Αἰγίμιον ποιήσας φησί „Καὶ — αἰεί“. Tzetz. ad Il. p. 153 sq. Apollodor. II, 1, 3, 3: Ἥρα δὲ αἰτησαμένη παρὰ Διὸς τὴν βοῦν φύλακα αὐτῆς κατέστησεν Ἄργον τὸν πανόπτην, ὃν .... Κέρκωψ Ἄργου καὶ Ἰσμήνης τῆς Ἀσωποῦ θυγατρός (λέγει).

---

1) ἀφροδισίων ut glossema om. Bekker. 2) Cf. Phavorin. v. 3) Cf. Herodian. περὶ μον. λέξ. p. 17 (II p. 923 Lentz.).

Fragm. V. 4. φυλακὴν] Sic Cod. Marc.; φυλακὴ ceteri. — ἔμπεδον, quod ci. Schneidew. coni. crit. p. 69, legitur in Codd. Marc. Vat. Par.; ἔμπεδος alii cum Tzetz. — αἰεί] αὐτόν cod. Par.; αἰέν Tzetz.

6.

Schol. Ven. ad Hom. Il. Ω, 24 Ἀργειφόντην] Κατὰ τοὺς Ἡσιόδου μύθους τὸν βουκόλον Ἰοῦς ἐφόνευσεν (Ἑρμῆς).

7.

Ἔνθα ποτ' ἔσται ἐμὸν ψυκτήριον, ὄρχαμε λαῶν.

Athen. XI p. 503 C, D: Νίκανδρος δ' ὁ Θυατειρηνὸς καλεῖσθαί φησι ψυκτήρια καὶ τοὺς ἀλσώδεις καὶ συσκίους τόπους τοὺς τοῖς θεοῖς ἀνειμένους, ἐν οἷς ἔστιν ἀναψῦξαι ...... καὶ ὁ τὸν Αἰγίμιον δὲ ποιήσας, εἴθ' Ἡσίοδός ἐστιν ἢ Κέρκωψ ὁ Μιλήσιος, „ἔνθα — λαῶν".

8.

Πάντες δὲ τριχάϊκες καλέονται,
οὕνεκα τρισσὴν γαῖαν ἑκὰς πάτρης ἐδάσαντο.

Etym. M. p. 768, 25 sqq.: Τριχάικες οἱ συνεχῶς κινοῦντες ἐν τοῖς πολέμοις τὰς κατὰ λόφον τρίχας. τοιοῦτο καὶ τὸ κορυθαίολος Ἕκτωρ. Ἡσίοδος δὲ διὰ τὸ τριχῇ αὐτοὺς οἰκῆσαι, οἷον „πάντες — ἐδάσαντο". τρία γὰρ Ἑλληνικὰ ἔθνη τῇ Κρήτῃ ἐπῴκησαν, Πελασγοί, Ἀχαιοί, Δωριεῖς. V. Müll. Dor. I p. 29. Niebuhr. Hist. Rom. I p. 332 ed. III., qui vocabulum τριχάικες de tribus Doriensium tribubus intellexit. Goettl. de tripoli Dorica poetam cogitasse putans, conferri iubet Pind. Ol. VII, 74 sqq. (136 sqq.).

---

Fragm. VIII. 1. δὲ] Sic cod. Marc. Sylb.; legebatur γάρ. — 2. τρισσὴν οὕνεκα Goettl.

## ASTRONOMIA.

A recensione carminum Hesiodeorum a Pausan. IX, 31, 4 facta Astronomia abest. Memoratur a Plin. N. H. XVIII, 25. Plut. moral. p. 402 F. Schol. Arat. v. 254. Tzetz. ad Hes. Opp. 382. Chil. XII, 167.

Nomen carminis est *Ἀστρονομία* apud Athen., *Ἀστρολογία* apud Plut. Plin.; *ἀστρικὴν βίβλον* citant Schol. Arat. Tzetz. De argumento carminis Marcksch. p. 195: „Videtur stellarum et astrorum recensionem fabularumque astronomicarum expositionem comprehendisse, adiunctis de ortu occasuque stellarum observationibus habitaque fortasse operum rusticorum et rerum sacrarum ratione."

### 9. 10. 11.

*Τὰς δὲ βροτοὶ καλέουσι Πελειάδας.*

---

*Χειμέριαι δύνουσι Πελειάδες.*

---

*Τῆμος ἀποκρύπτουσι Πελειάδες.*

Athen. XI p. 491 C: *Καὶ ὁ τὴν εἰς Ἡσίοδον δὲ ἀναφερομένην ποιήσας Ἀστρονομίαν ἀεὶ Πελειάδας αὐτὰς λέγει „τὰς δὲ — Πελειάδας". καὶ πάλιν „χειμέριαι — Πελειάδες". καὶ πάλιν „τῆμος — Πελειάδες".* Cf. Plin. N. H. XVIII, 25 § 213: Occasum matutinum vergiliarum Hesiodus (nam huius quoque nomine exstat Astrologia) tradidit fieri cum aequinoctium autumni conficeretur.

---

Fragm. IX. *τὰς δὲ*] Sic Herm.; *τάσδε* vulgo. — Versus a Schol. Pind. Nem. II, 16 laudatos [*Τηυγέτη τ' ἐρόεσσα καὶ Ἠλέκτρη κυανῶπις, | Ἀλκυόνη τε καὶ Ἀστερόπη, δίη τε Κελαινώ, | Μαῖά τε καὶ Μερόπη, τὰς γείνατο φαίδιμος Ἄτλας*, et paullo post *Κυλλήνης ἐν ὄρεσσι θεῶν κήρυκα τέχ' Ἑρμῆν*] ex Astronomia sumptos esse suspicatur Marcksch. Cf. Schneidew. exercitt. critt. p. 26.

12.

*Νύμφαι Χαρίτεσσιν ὁμοῖαι,*
*Φαισύλη ἠδὲ Κορωνὶς ἐυστέφανός τε Κλέεια,*
*Φαιώ θ' ἱμερόεσσα ἰδ' Εὐδώρη τανύπεπλος,*
*ἃς Ὑάδας καλέουσιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων.*

Tzetz. ad Hes. Opp. 382 p. 206 (246) Gaisf.: *Ἄλλοι δέ τινες δώδεκα θυγατέρας φασὶ γενέσθαι τῷ Ἄτλαντι, καὶ υἱὸν Ὕαντα, ὃν ἐν Λιβύῃ θηρῶντα ὄφις ἀνεῖλεν. καὶ αἱ μὲν πέντε τὸν ἀδελφὸν τοῦτον θρηνοῦσαι ἀπώλοντο· Ζεὺς δὲ ἀστέρας ταύτας πεποίηκε, τὰς λεγομένας Ὑάδας, ὧν τὰ ὀνόματα ὁ Ἀσκραῖος οὗτος Ἡσίοδος ἐν τῇ ἀστρικῇ αὐτοῦ βίβλῳ διδάσκει, λέγων „νύμφαι — ἀνθρώπων"*. Eosdem versus affert Schol. ad Arat. 172, v. 2 et 3 ad v. 254; 2—4 Tzetz. Chil. XII, 169.

13.

Schol. ad Arat. Phaen. I, 27: *Τὴν μίαν δὲ τούτων τῶν Ἄρκτων τὴν μεγάλην, ἣν μετ' ὀλίγον ὀνομάσει Ἑλίκην, Ἡσίοδός φησι Λυκάονος θυγατέρα εἶναι, καὶ ἐν Ἀρκαδίᾳ κατοικοῦσαν ἑλέσθαι μετὰ Ἀρτέμιδος τὴν περὶ τὰς θήρας*[1]) *ἀγωγὴν ἐν ὄρεσι ποιεῖσθαι, φθαρεῖσαν δὲ ὑπὸ Διὸς καὶ ἤδη μέλλουσαν τεκεῖν ὀφθῆναι ὑπ' αὐτῆς λουομένην· ἐφ' ᾧ ὀργισθεῖσαν τὴν Ἄρτεμιν θηριῶσαι αὐτήν, καὶ οὕτω τεκεῖν ἄρκτον οὖσαν τὸν κληθέντα Ἀρκάδα· οὖσαν δὲ ἐν τῷ ὄρει θηρευθῆναι ὑπ' αἰπόλων τινῶν καὶ παραδοθῆναι Λυκάονι μετὰ*

---

Fragm. XII. 3. *ἰδ'* reposui e Schol. ms. (Marc. 476 saec. XI) ad Arat. v. 172; *καὶ* vulgo. — 4. *Νύμφαι, ἃς Ὑάδας καλ. φῦλ' ἀνθρώπων* Tzetz. Chil., Comment. Hes. codd. nonnulli.

1) *τοὺς θῆρας* Cod. Marc. 476.

*τοῦ βρέφους· μετὰ χρόνον δέ τινα δόξαι εἰσελθεῖν εἰς τὸ Λύκαιον, ὅ ἐστι τοῦ Διὸς ἄβατον, ἀγνοήσασαν τὸν νόμον, ὑπὸ τοῦ ἰδίου υἱοῦ διωκομένην· τῶν Ἀρκάδων δὲ αὐτὴν ἀναιρεῖν μελλόντων διὰ τὸν εἰρημένον νόμον, ὁ Ζεὺς διὰ τὴν συγγένειαν αὐτῆς ἐξείλετο καὶ ἐν τοῖς ἄστροις ἔθηκεν, Ἄρκτον αὐτὴν ὀνομάσας διὰ τὸ σύμπτωμα.* Eadem fere habet Pseudo-Eratosth. Catast. 1[1]). Cf. Schol. ad Germ. Arat. 24 p. 58. 112 Breysig. Hygin. Astron. II, 1 p. 30 Bunte. Apollod. III, 8, 2, 2.

Haec ad Astronomiam pertinere collegit Marcksch. e Lactant. Placid. [Argum. ad Ovid. Metamm. II, fab. 5, 6. p. 797 Stav.] de Callisto disserente: Quae a Iove cum Arcade filio, quem erat enixa, inter sidera conlocatur. A Graecis autem Helice, a nostris septentrio nuncupatur, et a Tethy et Oceano ob Iunonis iram inter cetera sidera liquore non tingitur, ut auctor Hesiodus indicat.

14.

Hygin. Astr. II, 20 p. 465 Stav. 59 Bunte. Aries. Hic existimatur esse, qui Phrixum et Hellen transtulisse dictus est per Hellespontum, quem Hesiodus et Pherecydes ait habuisse auream pellem. Pseudo-Eratosth. Catast. 19: *Κριὸς ........ εἶχε δὲ χρυσῆν δοράν, ὡς Ἡσίοδος καὶ Φερεκύδης εἰρήκασι.* Schol. Strozz. ad Germ. Arat. 224 p. 142 Breysig: Arietem namque, ut Hesiodus et Pherecydes dicunt, inter astra collocatum propter Phrixum et Hellen, Athamantis et Nebulae filios. Cf. Schol. Sangerm. ad loc. et Schol. p. 79 sq.: Hunc

1) Pseudo-Eratosthenis Catasterismi „nihil sunt aliud nisi Scholia ad Aratum“ Volkmann in Paul. Encycl. $I^2$ p. 1416.

putant quidam esse qui Phrixum et Hellen Colchos portavit (pertulit). Nebula eum his dedit aureo vellere cata Hesiodum qui eos perferret. deinde iungit decidisse Hellen. a qua Hellespontum dictum. quam Neptunum compressisse, ex qua filios genuerit. Phrixum autem perlatum Colchos arietem immolasse pellemque eius auream Iovi sacrasse. ideo eum non parere ait Ferecydes, quod deposito vellere aureo in caelum sit receptus.

15.

Scholl. vett. ad Arat. 322 (Codicis Marc. 476 ab editore excussi) de Orione: *Τοῦτον δὲ Ἡσίοδός φησι Βρύλλης*[1]) *τῆς Μίνω καὶ Ποσειδῶνος εἶναι, δωρεὰν δὲ ἔχειν παρὰ τοῦ πατρὸς ὡς καὶ ἐπὶ τῶν κυμάτων πορεύεσθαι, ἐλθόντα δὲ ἐς Χίον Μερόπην τὴν Οἰνοπίωνος βιάσασθαι οἰνωθέντα· τὸν δὲ Οἰνοπίωνα χαλεπήναντα αὐτὸν ἐκτυφλῶσαι· ἐλθόντα δὲ εἰς Λῆμνον ἀλητεύοντα Ἡφαίστῳ συμμῖξαι, ὃς αὐτὸν ἐλεήσας δίδωσιν αὐτῷ ποδηγέτην Κυδαλίωνα, ὃν λαβὼν ἐπὶ τῶν ὤμων ἔφερε τὰς ὁδοὺς αὐτῷ*[2]) *σημαίνοντα. ἐλθὼν δὲ εἰς ἀνατολὰς καὶ Ἡλίῳ συμμίξας ὑγιάσθη, καὶ οὕτως ἐπὶ τὸν Οἰνοπίωνα ἐλθὼν τιμωρήσασθαι ἔμελλεν· ὁ δὲ μαθὼν ὑπὸ γῆν ἐκρύβη. ἀπελπίσας δὲ αὐτὸν εὑρεῖν*[3]) *εἰς Κρήτην ἦλθε καὶ Ἀρτέμιδι σύνθηρος ἦν. ἐπιχειρήσας οὖν καὶ ταύτην βιάσασθαι ὑπὸ σκορπίου πληγεὶς ἐτελεύτησιν.*

Cf. Pseudo-Eratosth. Catast. 32 Schaubach. Schol. ad Nic. Ther. 15. Apollod. I, 4, 3. Hygin. Astr. II c. 34

1) Leg. *Εὐρυάλης* ex Apoll. Ps.-Eratosth. 2) *αὐτῷ* om. Cod. Marc. 3) *εὑρεῖν* om. Cod. Marc.

p. 72 Bunte. Schol. ad Germ. Arat. v. 331 p. 92 sq. 163 Breysig. Schol ad Stat. Theb. III, 27 (p. 5 sq. ed. Kohlmann). — Eratosth. in fine addit: *ὅθεν διὰ τὴν αὐτοῦ ἀνδρίαν ἐν τοῖς ἄστροις αὐτὸν ἔθηκεν ὁ Ζεὺς ὑπὸ Ἀρτέμιδος καὶ Λητοῦς ἀξιωθείς.*

16.

Schol. ad Germ. Arat. 367 p. 174 Breysig. Hesiodus autem dicit inter astra collocatum (Eridanum) propter Phaethonta. Cf. Schol. p. 185. Fragm. 209.

17.

Cram. An. Oxon. IV p. 238: *Καὶ πρῶτος κατελθὼν (ὁ Ἀβραὰμ) εἰς Αἴγυπτον ἀριθμητικὴν καὶ ἀστρονομίαν Αἰγυπτίους ἐδίδαξε· πρῶτοι γὰρ εὕρεταὶ τούτων οἱ Χαλδαῖοι γεγένηνται· παρὰ δὲ τῶν Ἑβραίων ἔλαβεν Φοίνικες· ἀφ' ὧν ὁ μὲν Κάδμος ταῦτα μετήγαγεν εἰς τοὺς Ἕλληνας. ὁ δὲ Ἡσίοδος μάλα συντάξας εὐφυῶς Ἕλλησιν.* Cf. Joseph. Antiq. Jud. I, 8 (9), 2.

---

## CATALOGUS. EOEAE.

Hes. Theog. 1019—22: *Αὗται μὲν θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι | ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα. | νῦν δὲ γυναικῶν φῦλον ἀείσατε, ἡδυέπειαι | Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο.* Cf. Max. Tyr. XXIV, 9: *Ἡσιόδῳ δὲ ἀείδουσιν αἱ Μοῦσαι τί ἄλλο ἢ γυναικῶν ἔρωτας καὶ ἀνδρῶν καὶ ποταμῶν ἔρωτας καὶ βασιλέων καὶ φυτῶν* et XXXII. 4 (auctoris verba supra p. 80 exscripta sunt).

Dio Chrysost. or. de regno II § 13 sq. (I p. 77 Rsk.): *Ὁ μέντοι Ἡσίοδος . . . . . . δοκεῖ μοι οὐδὲ αὐτὸς*

ἀγνοεῖν τὴν ἑαυτοῦ δύναμιν, ὅσον ἐλείπετο Ὁμήρου. πῶς λέγεις; ὅτι ἐκείνου περὶ τῶν ἡρώων ποιήσαντος, αὐτὸς ἐποίησε γυναικῶν κατάλογον καὶ τῷ ὄντι τὴν γυναικωνῖτιν ὕμνησε, παραχωρήσας Ὁμήρῳ τοὺς ἄνδρας ἐπαινέσαι. Unde hausit Eustath. ad Hom. Il. p. 745, 49 sqq. Rom. (643 Bas.); cf. eiusdem verba ad Od. λ 225 p. 1680, 28 sq. Rom. (429 Bas.) Πάνυ δεξιῶς ὁ ποιητὴς τὴν ῥαψῳδίαν ταύτην ἡρώων ἅμα καὶ ἡρωΐδων πεποίηκε κατάλογον, Ἡσιόδου μόνων γυναικῶν ποιησαμένου κατάλογον.

Pseudo-Luc. Amor. cap. 3 [V p. 248 Lehm. II p. 292 Jacob.] ἔναγχος γοῦν διηγουμένου σου τὸν πολύν, ὡς καὶ παρ' Ἡσιόδῳ, κατάλογον ὧν ἀρχῆθεν ἠράσθης coll. disputat. cum Hesiod. 1 [VIII p. 142 Lehm. III p. 341 Jacob.], ubi γυναικῶν ἀρετὰς respicit Lucianus.

Menander περὶ ἐπιδεικτικῶν Rhett. Grr. IX p. 268 Walz.): πολλὴ δὲ ἱστορία τοιαύτη παρὰ ποιηταῖς καὶ συγγραφεῦσι, παρ' ὧν καὶ λήψῃ τὴν χορηγίαν· ἐπιφωνήσεις δὲ καὶ τῶν Σαπφοῦς ἐρωτικῶν καὶ τῶν Ὁμήρου καὶ Ἡσιόδου· πολλὰ δὲ αὐτῷ ἐν τοῖς καταλόγοις τῶν γυναικῶν εἴρηται περὶ θεῶν συνουσίας καὶ γάμου.

Serv. ad Verg. Aen. VII, 268: Hesiodus etiam περὶ γυναικῶν inducit multas heroidas optasse nuptias virorum fortium.

---

Carmen variis a veteribus scriptoribus nominibus laudatur; nominatur enim ἔπη τὰ ἐς τὰς γυναῖκας vel [τὰ] ἐς γυναῖκας ᾀδόμενα (Paus. I, 3, 1 et IX, 31, 5 [4]), περὶ γυναικῶν (Servius l. l.), γυναικῶν ἡρωι-

*νῶν κατάλογος ἐν βιβλίοις ε'* (Suid. v. *Ἡσίοδος*), *Κατάλογοι* (Schol. Ven. A et minn. ad Hom. Il. *B*, 336. Laur. Lyd. I, 13. Procl. ad Hes. p. 4 Gaisf.), saepissime *κατάλογος γυναικῶν* vel *κατάλογος* simpliciter (cf. auctores ad fragm. 43. 55. 118. 128 laudatos[1]).

Praeterea memoratur *Λευκιππίδων κατάλογος* (Schol. ad Hes. Theog. 142), *κατάλογος περὶ τῶν Προιτίδων* (Eustath. ad Od. p. 1746, 9 Rom. 523 Bas.).

Catalogi liber primus citatur (v. fragmm. 19. 32 sq.); secundus (fr. 71); tertius (fr. 72. 73. 75. 81. 82); quartus (fr. 166).

Eoeae et Catalogus pro diversis poematis habent auctores quibus fragmm. 75. 162. 29. 160. 128. debemus. Sed alia testimonia obstant: Arg. Scut. *Τῆς ἀσπίδος ἡ ἀρχὴ ἐν τῷ δ' καταλόγῳ φέρεται μέχριστίχων ν' καὶ ϛ'*[2]). Haec igitur narratio ex Eoeis, ut v. 1 aperte docet, sumpta, Catalogi libro quarto inserta erat. Cf. Hesych.: *Ἠοῖαι ὁ κατάλογος Ἡσιόδου*. Etym. Gud. p. 246, 23: *Ἠοιαι· ἔστι κατὰ* (sic) *λόγος Ἡσιόδου.*

Hanc testimoniorum repugnantiam removit Marckscheffel (p. 109), statuens „antiquis temporibus Eoeas a Catalogo diversas fuisse. Postero autem tempore haec carmina tum propter argumenti similitudinem tum propter tum propter Hesiodi nomen utrique impositum, collecta et in unum corpus redacta sunt, ita quidem, ut, cum Catalogus tres libros comprehenderet, Eoeis quarti nomen

1) Novam inscriptionem (*ἡρωικὴ γενεαλογία*), quam apud Proclum (p. 4) et Tzetzam deprehendimus, ab ipso Proclo fictam esse ostendit Marckscheff. p. 104. 2) Legebatur *ν' καὶ σ'*; corr. Sam. Petit. ad. Leg. Att. p. 462.

daretur, id quod e scholio illo Hesiodio colligitur." — Cui corpori nomen *Μεγάλαι Ἠοῖαι*, quod apud scriptores nonnullos occurrit, impositum esse, verisimile est.[1])

Marckscheffelii opinioni adsentiunt viri dd. omnes, qui post eum Hesiodea tractarunt.

---

## CATALOGI FRAGMENTA.

### 18.

Servius ad Vergil. Aen. VII, 268: Antiquis mos fuit meliores generos rogare.... Hesiodus etiam *περὶ γυναικῶν* inducit multas heroidas optasse nuptias virorum fortium.

### 19.

Schol. Laur. ad Apoll. Rhod. III, 1086: *Ὅτι Προμηθέως καὶ Πανδώρας υἱὸς Δευκαλίων Ἡσίοδος ἐν πρώτῳ Καταλόγων φησί, καὶ ὅτι Δευκαλίωνος*[2]) *καὶ Πύρρας Ἕλλην.* Ex hoc scholio hausit Eudocia p. 108, 21 sqq.

### 20.

Schol. Ambr. et Harl. ad Hom. Od. *κ*, 2: *Δευκαλίων, ἐφ' οὗ ὁ κατακλυσμὸς γέγονε, Προμηθέως μὲν ἦν υἱός, μητρὸς δέ, ὡς οἱ πλεῖστοι λέγουσι, Κλυμένης, ὡς δὲ Ἡσίοδος, Προνόης.*[3])

---

1) In Pausaniae loco IX, 31, 5 (4) [*ἐς γυναῖκάς τε ᾀδόμενα καὶ ἃς μεγάλας ἐπονομάζουσαν Ἠοίας*] *καὶ* delendum esse vidit Schubart, qui in edit. novissima (1870) II p. XVIII: „Debet abesse copula propter seq. *ἐπονομάζουσιν*". 2) *Δευκαλίωνος*] *Προμηθέως* Schol. Apoll., Eudoc.; corr. Marckscheffel. 3) Sic Dind. — *Πρυνόης* Harl., *Πρυνείης* Ambr., *Πρυλείης* ci.

21.

Adnotat. ad Lactant. Placid. Argum. ad Ovid. Metamm. Lib. I. p. 788 Stav.: Ex terra cum omnia generata sint, variarumque rerum mater reperiatur, tum humanum genus, quod cuncta vinceret, Prometheus Iapeti filius, ut idem Hesiodus ostendit, ex humo finxit, cui Minerva spiritum infudit.

22.

*Κούρη δ' ἐν μεγάροισιν ἀγανοῦ Δευκαλίωνος*
*Πανδώρη Διὶ πατρί, θεῶν σημάντορι πάντων,*
*μιχθεῖσ' ἐν φιλότητι τέκε Γραῖκον μενεχάρμην.*

Laur. Lydus de mens. I, 13: *Τοσούτων οὖν ἐπιξενωθέντων τῆς Ἰταλίας, ὥσπερ ἐδείχθη, Λατίνους μὲν τοὺς ἐπιχωριάζοντας, Γραικοὺς δὲ τοὺς ἑλληνίζοντας ἐκάλουν, ἀπὸ Λατίνου τοῦ ἄρτι ἡμῖν ῥηθέντος καὶ Γραίκου τῶν ἀδελφῶν, ὥς φησιν Ἡσίοδος ἐν Καταλόγοις· [Ἄγριον ἠδὲ Λατῖνον*[1]).] „*κούρη — μενεχάρμην*". — „In Lydi libris versus, quo Latini mentio fiebat, videtur excidisse". Marcksch. Cf. Iriarte Catal. Bibl. Matrit. p. 26.[2])

---

Welck. Tril. Aesch. p. 12. „In prioribus Promethei et Iapeti genealogias confusas esse, notat Lehmannus, qui addit, nisi omnia perturbata sint, de Prynea poetam in alio carmine cecinisse". Marcksch.

Fragm. XXII. 3. *Γραικὸν* Laur. Lyd.

1) = Theog. 1013. 2) „Eam (Theogoniam) excipit eodem exscriptore (sc. Ioh. Lascari) tetrastichon hexametris versibus, hoc titulo: *ἡσιόδου καὶ ταῦτα*, id est, Hesiodi etiam haec. Princeps eius versus ita se habet: *κούρη δ' ἐν μεγάροισιν ἀγανοῦ* (sic) *δευκαλίωνος.*" Iriarte.

23.

*Ἡ δ' ὑποκυσαμένη Διὶ γείνατο τερπικεραύνῳ*
*υἷε δύω, Μάγνητα Μακηδόνα θ' ἱππιοχάρμην,*
*οἳ περὶ Πιερίην καὶ Ὄλυμπον δώματ' ἔναιον.*

Constant. Porphyr. de them. p. 22 Par. [Vol. III p. 48 Bonn.] *Μακεδονία ἡ χώρα ὠνομάσθη ἀπὸ Μακεδόνος τοῦ Διὸς καὶ Θυίας τῆς Δευκαλίωνος, ὥς φησιν Ἡσίοδος ὁ ποιητής· „ἣ — ἔναιον".*

24.

*Μάγνης δ' αὖ Δίκτυν τε καὶ ἀντίθεον Πολυδεύκεα.*

Herodian. de impropria dictione ap. Nauck. Lex. Vindob. p. 310 [Boisson. An. Gr. III p. 259] *περὶ δὲ διαίρεσιν, ὡς ὅταν Ἡσίοδος λέγῃ· „Μάγνης δὲ κατ' αὐτὸ καὶ ἀ. Π.". οὐ γὰρ διαιρεῖται ὧν ἡ αἰτιατικὴ εἰς ν λήγει, ἀλλ' εἰς η, οἷον Δημοσθένεα Διογένεα, Δημοσθένη Διογενη.* Cf. Gramm. *περὶ βαρβαρισμοῦ καὶ σολοικίας* post Ammonium Valckenaerii p. 196, ubi legitur „*Μάγνης δ' αὖ Δίκτην τε καὶ ἀ. Π.*".

25.

*Ἕλληνος δ' ἐγένοντο φιλοπτολέμου βασιλῆος*
*Δῶρός τε Ξοῦθός τε καὶ Αἴολος ἱππιοχάρμης.*

---

Fragm. XXIII. 1. Legebatur *ὑποκυσσαμένη*, corr. Marcksch. — 2. *Μάκεδνόν θ'* Müller Dor. I, p. 4.

Fragm. 24. *Πολυδέκτην* vel *Πολυδέκτεα* Nauck.

Fragm. XXV. 1. *φιλοπτολέμου βασιλῆος*] Sic Scholl. vett. ad Lycophr. (Cod. Vat. ap. Bachm., cod. Marc. 476 ab editore excussus); *θεμιστοπόλοι βασιλῆες* Plut.; *θεμιστοπόλου βασιλῆος* Tzetz. ad Lycophr., cod. Schol. Exeg. in Il. p. 134; *θεμιστοπόλ*[οι/ου] *βασιλῆ*[ες/ος] cod. Exeg. in Il. p. 63. — 2. *Αἰόλος* edd. Plutarchi, Tzetz. ad Il. et Scholl. cod. Marc. 476.

*Αἰολίδαι δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆες*
*Κρηθεὺς ἠδ' Ἀθάμας καὶ Σίσυφος αἰολομήτης*
*Σαλμωνεύς τ' ἄδικος καὶ ὑπέρθυμος Περιήρης.*

Tzetz. ad Lycophr. v. 284 *Δωριεὺς στρατὸς*] ὁ Ἑλληνικός, ἀπὸ Δώρου τοῦ Ἕλληνος παιδός, ὥς φησιν Ἡσίοδος ἐν τῇ ἡρωικῇ γενεαλογίᾳ „Ἕλληνος — Περιήρης". V. 1, 2 afferunt Tzetza etiam Exeg. Il. p. 63 et 134. Plut. mor. p. 747 F. Scholl. vett. ad Lycophr. ed. Bachm. [Rostoch. 1848] p. 16, V. 2 Schol. Thuc. I, 3, respicit Schol. ad Hom. Od. *κ* 2 (p. 444, 22 Dind.), — verba *Δωρός τε Ξοῦθός τε* citat Herodian *περὶ μον. λέξ.* p. 42 (II p. 947 Lentz.), — V. 3—5 laudat Schol. Pind. Pyth. IV, 253.

26.

Schol. Laur. ad Apoll. Rhod. IV, 266: *Οἱ ἀπὸ Δευκαλίωνος τὸ γένος ἔχοντες ἐβασίλευον Θεσσαλίας, ὥς φησιν Ἑκαταῖος καὶ Ἡσίοδος.*

27.

Schol. Laur. ad Apoll. Rhod. I, 482 *Ἀλωιάδας*] *Ἐρατοσθένης δὲ γηγενεῖς αὐτούς φησι, διὰ δὲ τὸ ἀνατετράφθαι ὑπὸ τῆς Ἀλωέως γυναικὸς μυθευθῆναι ὡς Ἀλωέως εἰσὶν υἱοί. Ἡσίοδος δὲ Ἀλωέως καὶ Ἰφιμεδείας κατ' ἐπίκλησιν, ταῖς δὲ ἀληθείαις Ποσειδῶνος καὶ Ἰφιμεδείας ἔφη, καὶ Ἄλον, πόλιν Αἰτωλίας, ὑπὸ τοῦ πατρὸς αὐτῶν ἐκτίσθαι*[1]).

---

Fragm. XXV. 3. *Αἰολίδου — θεμιστοπόλου βασιλῆος* Tzetzae codd. nonnulli. —

1) *καὶ — ἐκτίσθαι*] *καὶ κτίσαι δὲ αὐτούς φασιν ἐπ' ὀνόματι τοῦ πατρὸς πόλιν ἐν Θεσσαλίᾳ Ἄλον.* Schol. Par.

28.

Suid. [I, 2 p. 387, 4 Bernh.] et Zonar. p. 790 v. Ἐπιάλτην. Ὅμηρος καὶ Ἡσίοδος[1]) καὶ οἱ Ἀττικοὶ τὸν δαίμονα· διὰ δὲ τοῦ φ τὸν ἄνδρα Ἐφιάλτην· καὶ τὸν (τὸ) ῥιγοπύρετον λεγόμενον. Cf. Etym. M. p. 434, 13. Eustath. ad Il. p. 561, 16 Rom. 426 Bas. ad Od. p. 1687, 51 Rom. 439 Bas.

29.

Ἶν δ' αὐτῷ θανάτου ταμίης.

Schol. Laur. ad Apoll. Rhod. IV, 57: Τὸν δὲ Ἐνδυμίωνα Ἡσίοδος μὲν Ἀεθλίου τοῦ Διὸς καὶ Καλύκης, παρὰ Διὸς εἰληφότα τὸ δῶρον ἶν[2]) αὐτῷ ταμίαν εἶναι θανάτου, ὅτε θέλοι[3]) ὀλέσθαι, quae descripsit, ut solet, Eudocia p. 148, 1 sqq. Poetae verba deprehendimus ap. Apollon. Dysc. de pronom. p. 366 A. Bekker: „Τῇ τὶν σύζυγος ἡ ἶν, τοῦ τ̄ ἀρθέντος. Ἡσίοδος· ἶν — ταμίης".[4])

30.

Schol. Ven. A ad Hom. Il. Λ, 750 Ἀκτορίωνε Μολίονε] (ἡ διπλῆ), ὅτι ἐντεῦθεν Ἡσίοδος Ἄκτορος κατ' ἐπίκλησιν καὶ Μολιόνης αὐτοὺς γεγενεαλόγηκεν, γόνῳ δὲ Ποσειδῶνος. οὐδέποτε δὲ Ὅμηρος ἀπὸ μητρὸς σχηματίζει. Apollon. Lex. Hom. v. Μολίονε p. 113, 21 Bekk.: μαχηταί, ἀπὸ τῆς κατὰ μάχην γενομένης μολήσεως,

---

1) „Videtur post Ἡσίοδος colo interpungendum esse. Sed praeceptum ipsum non satis firmum est." Goettl., qui Strab. I. p. 19 laudat. 2) Ex Apollonio restituit Schaefer Greg. Corinth. p. 85; ἐν codd. Laur. Par. 3) μέλλοι Eudocia. 4) Verba Eudociae ὅτε μέλλοι ὀλέσθαι poetae vindicat Schaefer.

ἢ ἀπὸ τοῦ συνεχῶς μολίσκειν εἰς μάχην· ἀπὸ γὰρ μητρὸς οὐδένα σημαίνει Ὅμηρος. Ἡσίοδος δὲ ὡς Μολιόνης[1]) υἱοὺς γεγονότας παραδίδωσι.

Eustath. ad Il. p. 1321, 19 sqq. 1442 Bas. Ἀκτορίωνες δὲ παῖδες Ἄκτορος, Κτέατος καὶ Εὔρυτος, ἀνδρεῖοι καὶ ἡνιοχικοί, ῥηθέντες που καὶ Μολίονες παρ' Ὁμήρῳ[2]), παρὰ δὲ τοῖς ὕστερον Μολιονίδαι, οὓς Ὅμηρος μὲν διδύμους ἱστορεῖ ἁπλῶς, οἱ δὲ κατ' Ἀρίσταρχον οὐχ' οὕτως οἷον κατὰ τοὺς Διοσκόρους, ἀλλὰ κατὰ τὸν Ἡσιόδου μῦθον καὶ διφυεῖς, δύο μὲν ἔχοντας σώματα, συμπεφυκότας[3]) δέ γε ἀλλήλοις. Cf. p. 882, 25 sqq. Rom. 834 Bas., ubi additur, φιλάδελφοι δὲ ἱστοροῦνται, καὶ μιᾷ ψυχῇ ἐν δυσὶ σώμασι διοικούμενοι. Cf. Schol. Ven. A ad Il. Ψ, 638 sq. et Schol. Vict. ad Il. Λ, 709: τερατώδεις τινὲς ἦσαν, ὡς Ἡσίοδος, ἄμφω ἐν ἑνὶ σώματι ὄντες. Eudoc. p. 33, 11 sqq. Plut. moral. p. 1083 C.

31.

Περικλύμενόν τ' ἀγέρωχον
ὄλβιον, ᾧ πόρε δῶρα Ποσειδάων ἐνοσίχθων
παντοῖ'· ἄλλοτε μὲν γὰρ ἐν ὀρνίθεσσι φάνεσκεν
αἰετός, ἄλλοτε δ' αὖτε πελέσκετο, θαῦμα ἰδέσθαι,
μύρμηξ, ἄλλοτε δ' αὖτε μελισσέων ἀγλαὰ φῦλα,
ἄλλοτε δεινὸς ὄφις καὶ ἀμείλιχος. εἶχε δὲ δῶρα

1) Cod. Μολίνης; corr. Marcksch. 2) Il. Λ 709, 750. 3) συμπεφυκότα Eudoc.

Fragm. XXXI. 2. ὄλβια Scholl. Par. Apoll. c. Eud. — 3. μέν τε ἐν Scholl. Par. c. Eud. — 5. Cf. Koechl. coni. epp. I p. 12. — 6. δ' αἰνὸς Marckscheff.

*παντοῖ', οὐκ ὀνομαστά, τά μιν καὶ ἔπειτα δόλωσε*
*βουλῇ Ἀθηναίης.*

Schol. Laur. ad Apoll. Rhod. I, 156 de Periclymeno disserens: *Ἡσίοδος δὲ μεταβληθέντα εἴς τινα τῶν συνήθων μορφῶν ἐπικαθεσθῆναι τῷ ὀμφαλῷ τοῦ ζυγοῦ τῶν Ἡρακλέους ἵππων, βουλόμενον εἰς μάχην καταστῆναι τῷ ἥρωι, τὸν δὲ Ἡρακλέα καιρίως αὐτὸν κατατοξεῦσαι τῆς Ἀθηνᾶς ὑποδειξάσης*[1]). *φησὶ δὲ οὕτως „Περικλύμενον — Ἀθηναίης"*. (Eudocia p. 333, 15 sqq.) coll. Schol. Ven. *A* ad Il. *B* 336: *Ἡρακλῆς γὰρ ἐπιστρατεύσας τῇ Πύλῳ διὰ τὸ μὴ καθαρθῆναι αὐτὸν ὑπὸ Νηλέως τὸν Ἰφίτου φόνον, καὶ διὰ τὴν τῶν Νηλειδῶν δὲ ἀφροσύνην, πολὺς ἦν πορθῶν τὴν πόλιν. καὶ ἐφ' ὅσον μὲν Περικλύμενος ὁ Νηλέως ἔζη, δυσάλωτος ἦν ἡ πόλις· ἀμφίβιος γὰρ ἐγένετο ἐκεῖνος, καὶ δὴ γενόμενον αὐτὸν μέλισσαν καὶ στάντα ἐπὶ τοῦ Ἡρακλέους ἅρματος, Ἀθηνᾶ δείξασα Ἡρακλεῖ*[2]) *ἐποίησεν ἀναιρεθῆναι. τότε Νέστωρ ἐν Γερήνοις τρεφόμενος, πορθηθείσης τῆς Πύλου καὶ τῶν ια' ἀδελφῶν αὐτοῦ ἀναιρεθέντων, μόνος περιελείφθη· διὸ καὶ Γερήνιος ὠνομάσθη. ἱστορεῖ Ἡσίοδος ἐν Καταλόγοις.* Eustath. ad Od. p. 1685, 61 sqq. Rom. (436 Bas.): *τὸν δὲ Περικλύμενον Ἡσίοδός φησι δῶρον εἰληφέναι παρὰ Ποσειδῶνος, ἀμείβειν ἑαυτὸν εἰς οἷον ἂν ζῷου ἢ δένδρου αἱροῖτο εἰκόνα.* Schol. ad Od. *λ*, 285. Ovid. Metamm. XII, 556 sqq.

---

Fragm. XXXI. 7. *τὰ μὲν καὶ — δόλωσαν* Scholl. Par.

1) *ἐπιδειξάσης* Koechly l. l. — 2) *Ἀθηνᾶ δείξασα Ἡρακλεῖ*] Sic Ruhnken epist. crit. p. 111. *Ἀθηνᾶ εἰκάσασα Ἀθηνᾶ* (sic) Cod. Ven., *Ἀθηνᾶ εἰκάσασα Ἡρακλεῖ* Dind., *ἐπιδείξασα Ἀθηνᾶ* Koechly.

32. 33.

*Κτεῖνε δὲ Νηλῆος ταλασίφρονος υἱέας ἐσθλοὺς*
*ἕνδεκα, δωδέκατος δὲ Γερήνιος ἱππότα Νέστωρ*
*ξεῖνος ἐὼν ἐτύχησε παρ' ἱπποδάμοισι Γερήνοις.*

---

*Νέστωρ οἶος ἄλυξεν ἐν ἀνθεμόεντι Γερήνῳ.*

(Herodian.[1]) ap.) Steph. Byz. v. *Γερηνία· πόλις Μεσσηνίας, ἔνθα, φασί, Νέστωρ ὁ Πύλιος ἐτράφη ἢ φυγὰς ἤχθη. Ἡσίοδος ἐν α' καταλόγων „κτεῖνε — Γερήνοις", ἀπὸ εὐθείας τῆς Γέρηνος. καὶ αὖθις „Νέστωρ — Γερήνῳ".* Hi versus leguntur etiam ap. Eustath. ad Il. p. 231, 29 sqq. Rom. 175 Bas. V. 2 respicit Schol. ad Od. *γ* 68; V. 3 Steph. Byz. v. *Τάβαι· πόλις Λυδίας ..... ὁ πολίτης Ταβηνός [ὡς Γερηνός]*[2]). *Ἡσίοδος „παρ' ἱπποδάμοισι Γερηνοῖς".*

34.

*Τηλεμάχῳ δ' ἄρ' ἔτικτεν ἐύζωνος Πολυκάστη*
*Νέστορος ὁπλοτάτη κούρη Νηληιάδαο*
*Περσέπολιν μιχθεῖσα διὰ χρυσέην Ἀφροδίτην.*

Eustath. ad Od. p. 1796, 39 sq. Rom. 597 Bas. *αὐτοῦ (Τηλεμάχου) δὲ καὶ Πολυκάστης τῆς Νέστορος Περσέπτολιν, ὡς Ἡσίοδος. „Τηλεμάχῳ — Ἀφροδίτην".* Eudoc. p. 77, 6.

35.

Porphyrius ad Hom. Il. *Ζ* 164 sq. (post Ammonium Valckenaerii p. 242): *συντόμως δὲ τὰ ἀρχαῖα δεδήλωκε,*

---

1) I p. 182 Lentz. 2) *ὡς Γερηνός* add. Holsten.
Fragm. XXXIV. 2 sq. *Νηληϊάδεω Περσέπτολιν* Eustath.; corr. Dind. — 3. *χρυσῆν* Eustath.; *χρυσέην* Goettl.

μιγῆναι οὐκ ἐθελούσῃ, ἀλλ' οὐχ ὥσπερ Ἡσίοδος τὰ περὶ τοῦ Πηλέως καὶ τῆς Ἀκάστου[1]) γυναικὸς διὰ μικρὸν ἐπεξελθών. Cf. Schol. Laur. ad Apoll. Rhod. I, 224: Ἄκαστος Πελίου υἱὸς ἔγημεν Κρηθηΐδα ἤ, ὥς τινες, Ἱππολύτην. ἣ δὲ Πηλέως ἐρασθεῖσα ἀπῄτει συνελθεῖν. ὡς δὲ ἀπετύγχανεν, προλαβοῦσα τὸν Πηλέα τῷ ἀνδρὶ κατηγόρει ὅτι ἤθελεν αὐτῇ συνελθεῖν. ὁ δὲ δεξάμενος τὸν Πηλέα ὡς ἐπὶ θήραν εἰς τὸ Πήλιον κατέλειψεν, ἵνα ὑπὸ θηρίων διαφθαρῇ. ἐπιστὰς δὲ ὁ Ἑρμῆς ἤ, ὥς τινες, Χείρων ἔδωκεν αὐτῷ ἡφαιστότευκτον μάχαιραν. καὶ τὰ ἐπιτυγχάνοντα θηρία ἀναιρῶν ἦλθεν εἰς τὴν πόλιν καὶ ἀνεῖλεν Ἄκαστον καὶ τὴν αὐτοῦ τοῦ Ἀκάστου γυναῖκα. Schol. Pind. Nem. IV, 88. Apollod. III, 13, 3. Eudoc. p. 31, 28 sqq. Cf. Gell. N. A. III, 11.

36.

Ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή·
αὐτὸν μὲν σχέσθαι, κρύψαι δ' ἀδόκητα μάχαιραν
καλήν, ἥν οἱ ἔτευξε περικλυτὸς Ἀμφιγυήεις·
ὡς τὴν μαστεύων οἶος κατὰ Πήλιον αἰπὺ
αἶψ' ὑπὸ Κενταύροισιν ὀρεσκῴοισι δαμείη.

Schol. Pind. Nem. IV, 95 enarrata Daedali et Acasti historia sic pergit: ταῦτα δὲ ἱστοροῦσι πολλοὶ μέν, ἀτὰρ δὴ καὶ Ἡσίοδος λέγων οὕτως „ἥδε — δαμείη".

37.

Schol. ad Hom. Od. μ, 69: Τυρὼ ἡ Σαλμωνέως ἔχουσα δύο παῖδας ἐκ Ποσειδῶνος, Νηλέα τε καὶ

1) Ἀκάτου cod.

*Πελίαν, ἔγημε Κρηθέα. καὶ ἴσχει παῖδας ἐξ αὐτοῦ τρεῖς, Αἴσονα καὶ Φέρητα καὶ Ἀμυθάονα. Αἴσονος δὲ καὶ Πολυμήλας*[1]) *καθ' Ἡσίοδον γίνεται Ἰάσων.*

38.

*Αἴσων, ὃς τέκεθ' υἱὸν Ἰήσονα, ποιμένα λαῶν,*
*ὃν Χείρων ἔθρεψ' ἐνὶ Πηλίῳ ὑλήεντι.*

Schol. ad Pind. Nem. III, 92: *ὅτι δὲ ἐτράφη παρὰ τῷ Χείρωνι ὁ Ἰάσων, Ἡσίοδός φησιν· „Αἴσων — ὑλήεντι“.*

39.

Apollodor. III, 9, 2, 7: *Ἡσίοδος δὲ καί τινες ἕτεροι τὴν Ἀταλάντην οὐκ Ἰάσου ἀλλὰ Σχοινέως εἶπον.*

40.

*Ποδωκὴς δῖ' Ἀταλάντη.*

Schol. Ven. A ad Hom. Il. *Β*, 764: *Ἀλλά φασιν εἰς ἰδιότητα τοῦ Ἀχιλλέως βεβαρυτονῆσθαι τὸ ποδώκης. παρὰ γοῦν τῷ Ἡσιόδῳ ἀνεγνώκασι „ποδ. — Ἀταλάντη“.*

41.

Schol. Ven. A et minn. ad Hom. Il. *Ψ*, 683: *Ζῶμα νῦν περίζωμα. πρῶτον δὲ ἔθος ἦν τοῖς παλαιοῖς περιζώματα φέρειν ἐν τοῖς αἰδοίοις*[2]) *καὶ οὕτως ἀγωνίζεσθαι. κατὰ δὲ τὴν ιδ'*[3]) *Ὀλυμπιάδα Ὀρσίππου*[4])

---

1) *Πολυμήδης* ci. Lehmann.
Fragm. XXXVIII. 2. *Χείρων ἔθρεψ'*] Sic Boeckh. pro Scholiorum lect. *Χείρων θρέψεν.* — *θρέψεν Χείρων* Spitzn. de vers. her. p. 41, *Χείρων θρέψας* Muetz. de emend. Theog. p. 85.

2) *περὶ τὰ αἰδοῖα* Scholl. minn. — 3) *ιδ'*] Sic Vict.; *τ̄ καὶ β̄* Ven. A, *λβ* Scholl. minn. — 4) *Ὀρσίππου* ex Eustathio et Pausania reposuit Dind.; *Ὀρίππου* Ven. A c. Scholl. minn., *Ἐρσίππου* Vict.

τοῦ Λακεδαιμονίου λυθὲν ἀγωνιζομένου τὸ περίζωμα αἴτιον αὐτῷ νίκης[1]) ἐγένετο, ἐξ οὗ νόμος ἐτέθη γυμνοὺς τρέχειν. Cf. Schol. Vict. ad loc.: νεώτερος οὖν Ἡσίοδος γυμνὸν εἰσάγων Ἱππομένη ἀγωνιζόμενον τῇ Ἀταλάντῃ.[2]) Eustath. ad loc. p. 1324, 14 sqq. Rom. 1446 Bas. Pausan. I, 44, 1. Thucyd. I, 6.

42.

Ἐξ ὧν οὔρειαι Νύμφαι θεαὶ ἐξεγένοντο
καὶ γένος οὐτιδανῶν Σατύρων καὶ ἀμηχανοεργῶν,
Κουρῆτές τε θεοὶ φιλοπαίγμονες, ὀρχηστῆρες.

Strab. X p. 471: Ἡσίοδος μὲν γὰρ Ἑκατέρω[3]) καὶ τῆς Φορωνέως θυγατρὸς πέντε γενέσθαι θυγατέρας φησίν „ἐξ ὧν — ὀρχηστῆρες".

43.

Καὶ κούρην Ἀράβοιο, τὸν Ἑρμάων ἀκάκητα
γείνατο καὶ Θρονίη, κούρη Βήλοιο ἄνακτος.

Strabo I p. 42: Ἡσίοδος δ' ἐν καταλόγῳ φησί „καὶ —

1) ἥττης Scholl. minn. — 2) ἀγωνιζόμενον ταλάντων Vict., veram lect. ex Eustathio rest. Heyne. γυμνοὺς εἰσάγων ἀγωνιστάς Schol. Ven. B reliquis omissis. — 3) Locus corruptus. Ἑκατέρω plerique, alii Ἑκατέρου, Ἑκατέου, vel Ἑκαταίου.

Fragm. XLII. 1. Verba ἐξ ὧν poetae abiudicat Marcksch. — Libri Strabonis ὄρειαι — ἐγένοντο. De toto loco Lobeck Aglaoph. p. 1116: „Horum pars prior tam mendose scripta est ut nec mater Curetum nec avia compareat ac ne pater quidem, sive is unus fuit sive plures. Pro Ἑκαταίου Welckerus substituit Ἑκάτου coniectura plausibili, cui ad dimidium adstipulatur Schol. Lyc. 77. Curetes Apollinis et Danaidis nymphae Creticae filios perhibens, sed ne pro certa recipiatur obstat totius loci pluribus partibus truncati vitiositas et quod Apollinem Satyrornm patrem esse nescitur. Itaque hinc nihil amplius discimus quam Curetes de plebe deorum fuisse affines Nymphis Faunisque Satyrisque et monticolis Sylvanis".

ἄνακτος". Cf. Eustath. ad Od. p. 1484, 63 Rom. 153 Bas. ad Dion. Per. 927.

44.

Lactant. Placid. Arg. Ovid. Met. Lib. IV. fab. 5 p. 811 Stav. Sol praelatam Leucothoen ex Eurynome et Orchamo Achaemeniae principe, origine Beli genitam, Clymenae ac Rhodo, Circes matri et Clytiae, quarum pulchritudine ante sollicitum animum egerat, dilexit. Et cupiens, ut in antedictis, cupiditatem sedare, in speciem matris puellae Eurynomes conversus, virginem deceptam dolo vitiavit. Cuius adulterio Clytie incensa, qua nondum satiatus erat Sol, parenti puellae indicavit. Quam ille quum terrae defodisset, vitiator admissi misericordiam exhibens, diducto solo, cui subiecta fuerat, pro ea virgam tinctam nectare, quae gratissima diis hominibusque esset, extulit, quae thurea adpellatur. Hoc Hesiodus indicat.

45.

Ibid. ad Met. XI fab. 4 p. 864 Stav. Pan quum Tmolum montem Lydiae frequentans fistula se oblectaret, elatus gloria agrestium Nympharum, Apollinem in certamen devocavit. Iudice ergo Tmolo, cuius mons erat, quum victoria Apollini esset adiudicata, Midae regi supradicto adsidenti soli displicuit. Quam ob caussam Apollo ...... iratus aures eius asininae ut essent sempiterno effecit, cuius iudicium nulli rei facerent. Qui tamen fertur Midas esse Matris Magnae filius. Sic enim cum Hesiodo consentit Ovidius.

46.

Ibid. ad Met. XIII fab. 3 p. 873 Stav. Memnon, Tithoni et Aurorae filius, Priamo ferens auxilium, ab Achille occiditur. Mater ergo precibus pro adsiduo officio inducendae lucis ab Jove inpetrat, ut in cineres eius adusto

rogo sorores in volucres convertantur, Memnonides nomine. Quae memores belli, quotannis ad sepulcrum eius conveniunt, et inter se dimicantes sanguine suo manibus eius frequentes parentant. Et ipsa mater eius matutinis temporibus lacrimas desiderio filii sui Memnonis transmutat in rorem, cui[1]) tamen monumentum in Phrygia constituit patruus eius, ut Hesiodus vult.

47.

*Ἄργος ἄνυδρον ἐὸν Δαναὸς ποίησεν ἔνυδρον.*

Eustath. ad Il. p. 461, 2 sqq. Rom. 350 sq. Bas. *Πολυδίψιον δὲ τὸ Ἄργος καλεῖ ἢ ὡς πάνυ ποθούμενον Ἕλλησιν ἢ ὅτι μυθεύεται ἄνυδρόν ποτε εἶναι, ὕστερον μέντοι εὔυδρον γενέσθαι Ποσειδῶνος ἀναῤῥήξαντος τὰς ἐν Λέρνῃ πηγὰς διὰ τὸν τῆς Ἀμυμώνης ἔρωτα, ἐξ ἧς καὶ Ἀμυμώνια ἐν Ἄργει ὕδατα· ἢ καὶ ἀπὸ τῶν Δαναΐδων, αἳ παραγενόμεναι ἐξ Αἰγύπτου φρεωρυχίαν ἐδίδαξαν, ὡς Ἡσίοδος „Ἄργος — εὔυδρον"*. Eundem v. citat Strabo VIII p. 371: *„Ἄργος ἄνυδρον ἐὸν Δαναοὶ θέσαν Ἄργος ἔνυδρον"* cf. p. 370: *περὶ δὲ τῶν μυθευομένων πηγῶν εἴρηται διότι πλάσματα ποιητῶν ἐστί· πλάσμα δὲ καὶ τὸ „Ἄργος ἄνυδρον ἐὸν Δαναοὶ*[2]) *θέσαν Ἄργος ἔνυδρον"*. Cf. Hesych. v. *δίψιον Ἄργος.*[3])

48.

Schol. ad Eur. Or. 872: *Η πολλὴ δόξα κατέχει μὴ ἀφῖχθαι τὸν Αἴγυπτον εἰς Ἄργος, καθάπερ ἄλλοι τέ φασι καὶ Ἑκαταῖος γράφων οὕτως „Ὁ δὲ Αἴγυπτος αὐτὸς μὲν οὐκ ἦλθεν εἰς Ἄργος, παῖδας δέ, ὡς μὲν*

---

1) cui] Sic Munck. Marcksch.; quod vulgo. 2) *ἐὸν Δαναοὶ* Meineke pro *θεοὶ δ' αὖ*. 3) Pro Hesiodi nomine Heliodorum substituendum esse ci. Ruhnken Hesych. II p. 8.

Ἡσίοδος, ἐποίησε πεντήκοντα, ὡς δὲ ἐγὼ λέγω, οὐδὲ εἰσί".

49.

Strab. VIII p. 370: Καὶ Ἀπολλόδωρος δὲ μόνους τοὺς ἐν Θετταλίᾳ καλεῖσθαί φησιν Ἕλληνας „Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες", Ἡσίοδον μέντοι καὶ Ἀρχίλοχον ἤδη εἰδέναι καὶ Ἕλληνας λεγομένους τοὺς σύμπαντας καὶ Πανέλληνας, τὸν μὲν περὶ τῶν Προιτίδων λέγοντα ὡς Πανέλληνες ἐμνήστευον αὐτάς, τὸν δὲ κτλ.

50.

Εἵνεκα μαχλοσύνης στυγερῆς τέρεν ὤλεσαν ἄνθος.

Suid. v. μαχλοσύνη (II, 1 p. 732 Bernh.)· κατωφέρεια, γυναικομανία· Ἡσιόδειος ἡ λέξις· λέγει γὰρ περὶ τῶν Προίτου θυγατέρων· „εἵνεκα — ἄνθος". Schol. Ven. A ad Il. Ω 25: καὶ ἡ μαχλοσύνη κοινῶς ἐστὶ γυναικομανία¹) ..... Ἡσιόδειος δ' ἐστὶν ἡ λέξις· ἐκεῖνος γὰρ πρῶτος ἐχρήσατο ἐπὶ τῶν Προίτου θυγατέρων. Cf. Eustath. ad loc. p. 1337, 34 Rom. 1465 Bas. Hesiodea secutus est Aelian. V. H. III, 42.

51.

Καὶ γάρ σφιν κεφαλῇσι κατὰ κνύος αἰνὸν ἔχευεν·
ἀλφὸς γὰρ χρόα πάντα κατέσχεθεν, ἐκ δέ νυ χαῖται
ἔρρεον ἐκ κεφαλέων, ψίλωτο δὲ καλὰ κάρηνα.

---

Fragm. L. ὤλεσεν cum tribus codd. Suidae Marcksch., „ita ut subiectum sit ἡ τῆς Κύπρου βασιλίς". Cf. Aelian. l. l.

1) Sic Cobet pro γυναικὸς μανία.

Fragm. LI. 2. κατέσχεθεν] Sic Heinsius. κατέσχεν Eustath. κατῄσχυν' voluit Heyne Observ. ad Apollod. p. 110, κατίσχναιν' Bergk de rell. com. Att. p. 23. — ἐκ] ἐν Eust.; corr. Lehm.

Eustath. ad Od. p. 1746, 7 sqq. Rom. 523 Bas.: *Ἐκ δὲ τοῦ ῥηθέντος κνύω καὶ κνύμα δακτύλων προφέρει* [*Ἡρωδιανός*] (I p. 445 Lentz.) .......... *καὶ κνύος δὲ τὴν φθορὰν κατὰ γένος οὐδέτερον* ....... *φέρων καὶ χρῆσιν ἐκ τοῦ παρὰ Ἡσιόδῳ καταλόγου περὶ τῶν Προιτίδων. „καὶ γάρ — κάρηνα“.* V. 1 laudat Gramm. in Cram. An. Oxon. I p. 226. Cf. Etym. M. p. 523, 8. [Herod. II p. 901 Lentz.].

52.

Schol. Ven. et minn. ad Hom. Il. *M*, 292: *Εὐρώπην τὴν Φοίνικος Ζεὺς θεασάμενος ἔν τινι λειμῶνι μετὰ νυμφῶν ἄνθη ἀναλέγουσαν ἠράσθη καὶ κατελθὼν ἤλλαξεν ἑαυτὸν εἰς ταῦρον καὶ ἀπὸ τοῦ στόματος κρόκον ἔπνει, οὕτως τε τὴν Εὐρώπην ἀπατήσας ἐβάστασε καὶ διαπορθμεύσας εἰς Κρήτην ἐμίγη αὐτῇ· εἶθ᾽ οὕτως συνῴκισεν αὐτὴν Ἀστερίωνι τῷ Κρητῶν βασιλεῖ· γενομένη δὲ ἔγκυος ἐκείνη τρεῖς παῖδας ἐγέννησε, Μίνωα, Σαρπηδόνα καὶ Ῥαδάμανθυν. Ἡ ἱστορία παρ᾽ Ἡσιόδῳ καὶ Βακχυλίδῃ.* Schol. Vict. ad loc. *Ἡσίοδος δὲ Εὐρώπης καὶ Διὸς αὐτόν* (sc. *τὸν Σαρπηδόνα*) *φησιν.* Cf. Schol. Par. ap. Cram. An. Par. III p. 21. Schol. Vat. ad Eur. Rhes. 28.

53.

Schol. Laur. ad Apoll. Rhod. II, 178: *Ἀγήνορος γὰρ παῖς ἐστιν* (*ὁ Φινεύς*), *ὡς Ἑλλάνικος· ὡς δὲ Ἡσίοδός φησιν, Φοίνικος τοῦ Ἀγήνορος καὶ Κασσιεπείας.*

54.

Apollodor. III, 14, 4, 1: *Ἡσίοδος δὲ αὐτὸν* (*Ἄδωνιν*) *Φοίνικος καὶ Ἀλφεσιβοίας λέγει.* Prob. ad Verg.

Ecl. X, 18: Adonis, ut Hesiodus ait, Phoenicis et Alphesiboeae.

55.

*Δημοδόκης, τὴν πλεῖστοι ἐπιχθονίων ἀνθρώπων*
*μνήστευον καὶ πολλὰ καὶ ἀγλαὰ δῶρ' ὀνόμηναν,*
*ἴφθιμοι βασιλῆες, ἀπειρέσιον διὰ εἶδος.*

Porphyrius in Schol. Ven. B ad Hom. Il. *Ξ*, 200 de voce *ἀπειρέσιος* disserens: *σημαίνει δὲ καὶ ἐπὶ τοῦ κατὰ τὸ εἶδος διαφέροντος καὶ ἄγαν καλοῦ, ὡς παρ' Ἡσιόδῳ ἐν γυναικῶν καταλόγῳ ἐπὶ τῆς Ἀγήνορος παιδὸς Δημοδόκης,* „*τὴν κ. τ. λ. — εἶδος*“. Eosdem versus affert Schol. Ambr. ad Od. *α*, 98.

56.

Schol. Ven. A ad Hom. Il. *K*, 431 *Φρύγες*] (*Ἡ διπλῆ,*) *ὅτι ἑτέρους τῶν Τρώων οἶδε τοὺς Φρύγας, καὶ ὅτι Ὅμηρος οὐκ οἶδε καλουμένους Λυδούς, ἀλλὰ Μῄονας. πρὸς τὰ περὶ ἡλικίας Ἡσιόδου.*

57.

Palaephatus c. 42 *περὶ Ζήθου καὶ Ἀμφίονος· ἱστοροῦσιν ἄλλοι τε καὶ Ἡσίοδος, ὅτι κιθάρᾳ τὸ τεῖχος τῶν Θηβῶν ἐτείχισαν.*

58.

Apollod. III, 5, 6, 2: *Ἡσίοδος δὲ δέκα μὲν υἱοὺς*

---

Fragm. LV. 1. *Δημοδόκης*] Fuisse videtur *Δημοδόκη* vel *-ην*. „Genetivus a Porphyrio, ut nomen ad suam verborum structuram accommodaret, profectus videtur“. Marcksch. — 2. *ἐμνήστευον* Schol. ad Il., *μνηστεύοντο* Schol. Od.; corr. Heyne. — *ὀνόμηναν* Schol. ad Od.; *ὀνόμηνας* Schol. Il. — 3. *διὰ*] vulgo *κατά*; corr. Koechly coni. ep. I p. 12.

δέκα δὲ θυγατέρας (sc. φησὶν Ἀμφίονος καὶ Νιόβης γενέσθαι). Aelian. Var. Hist. XII, 36: Ἐοίκασιν οἱ ἀρχαῖοι ὑπὲρ τοῦ ἀριθμοῦ τῶν τῆς Νιόβης παίδων μὴ συνᾴδειν ἀλλήλοις. Ὅμηρος μὲν ἓξ λέγει ἄρρενας καὶ τοσαύτας κόρας, Λάσος δὲ δὶς ἑπτὰ λέγει, Ἡσίοδος δὲ ἐννέα καὶ δέκα, εἰ μὴ ἄρα οὐκ εἰσὶν Ἡσιόδου τὰ ἔπη, ἀλλ' ὡς πολλὰ καὶ ἄλλα κατέψευσται αὐτοῦ.[1])

59.

Schol. Vict. ad Hom. Il. Ψ, 679: Καὶ Ἡσίοδος δέ φησιν ἐν Θήβαις αὐτοῦ (sc. Οἰδίποδος) ἀποθανόντος Ἀργείαν τὴν Ἀδράστου σὺν ἄλλοις ἐλθεῖν ἐπὶ τὴν κηδείαν αὐτοῦ.

60.

*Εἰλαρίδην Τιτυόν.*

Etym. M. [p. 60, 40] = Herodian. II p. 387 L. de formis Ἐλάρα et Ἀλέρα. Cod. V. ap. Gaisf.: Ὅτι δὲ τούτου κρεῖττον τὸ πρῶτόν ἐστιν πίστις ἐκ τοῦ Ἡσιόδου μετὰ πλεονασμῷ τοῦ ι τὸ πατρωνυμικὸν εἰπόντος „Εἰλαρίδην ποτὶ Τιτυόν". Cf. Schol. ad Apoll. Rhod. I, 761.

61.

*Ὅστε Λιλαίηθεν προΐει καλλίρροον ὕδωρ.*

Schol. Ven. A ad Hom. Il. Β, 522: Ὁ δὲ Κηφισὸς ποταμός ἐστι τῆς Φωκίδος, ἔχων τὰς πηγὰς ἐκ Λιλαίας, ὥς φησιν Ἡσίοδος „ὅστε — ὕδωρ". Versum laudat

---

1) „Quorum testimoniorum discrepantia sic explicanda videtur, ut alterum (forte Aeliani) ad Eoeas, alterum ad Catalogum referatur". Marcksch.

Fragm. LX. Legebatur Εἰλαριάδην. Εἰλαρίδην, quod Hermann ci., e codd. reposuit Gaisf.

Fragm. LXI. Λιλαίηθεν] Sic Eust.; Λιλαίησι Schol. Ven. — προχέει Eust. προΐει Goettl. p. 396.

etiam Eustath. ad loc. p. 275, 16 Rom. 208 Bas. Cf. Scholl. Ven. B et Lips. ad v. 523.

62.

*Παρὲκ Πανοπῆα διὰ Γλήχωνά τ' ἐρυμνὴν*
*καί τε δι' Ἐρχομενοῦ εἰλιγμένος εἶσι δράκων ὥς.*

Strabo IX p. 424 de Cephiso: *Καὶ Ἡσίοδος δ' ἐπὶ πλέον περὶ τοῦ ποταμοῦ λέγει καὶ τῆς ῥύσεως, ὡς δι' ὅλης ῥέοι τῆς Φωκίδος σκολιῶς καὶ δρακοντοειδῶς „παρὲκ — ὥς"*. Versum alterum citant Scholl. ad Arat. Phaen. 45.

63.

Argum. Pind. Ol. XIV, 1: *Κηφισὸς δὲ ποταμὸς ἐν Ὀρχομενῷ, ἔνθα καὶ αἱ Χάριτες τιμῶνται· ταύταις γὰρ Ἐτέοκλος ὁ Κηφισοῦ τοῦ ποταμοῦ υἱὸς πρῶτος ἔθυσεν, ὥς φησιν Ἡσίοδος. διὰ δὲ τοῦ Ὀρχομενοῦ ὁ Κηφισὸς ῥεῖ.*[1])

64.

Schol. Vict. et Lips. ad Hom. Il. *H*, 9: *Ὁ γὰρ τοῦ Μενεσθίου πατὴρ Ἀρηΐθους Βοιωτὸς, ἦν κατοικῶν Ἄρνην· ἔστι δὲ αὕτη Βοιωτίας, ὡς καὶ Ἡσίοδός φησιν.*

---

Fragm. LXII. 1. De Strabonis libris optimis parum constat [*ὅς παρὰ πανοπίδα* nonnulli, *παρὲκ* (?) *πανοπη διὰ* (vel *πανοπιδιὰ*) alii]. *παρὲκ* cum edd. recentt., *Πανοπῆα διὰ* Meinekium secutus scripsi. — 2. *καὶ δὲ* Strabo, *καί τε* Coraes e scholl. Arat. — *διερχομένου* (i. e. *δι' Ἐρχομενοῦ*, de quo cogitaverunt Leutsch. alii) Schol. vet. ad Arat. (ab editore collata); itaque *δι' Ἐρχομενοῦ* (cf. Ahrens de dial. aeol. p. 178) reposui. *Ὀρχομενοῦ* Strab. — *εἰλιγμένος*] *ἠπειγμένος* Scholl. ad Arat. — Ceterum hos versus cum superiore fragmento coniungit Herm.

1) *πρῶτος ἔθυσεν. διὰ — ῥεῖ, ὥς φησιν Ἡσίοδος* Herm.

65.

(Herodian. [I p. 223 L.] apud) Steph. Byz. v. *Ὀγχηστός, ἄλσος ....... κεῖται δὲ ἐν τῇ Ἁλιαρτίων χώρᾳ, ἱδρυθὲν δὲ ὑπὸ Ὀγχηστοῦ τοῦ Βοιωτοῦ, ὥς φησιν Ἡσίοδος.*

66.

Steph. Byz. v. *Αἰγά: Ἔστι καὶ Αἰγαῖον πεδίον συνάπτον τῇ Κίρρᾳ, ὡς Ἡσίοδος. λέγεται παρὰ Αἰγᾶν ποταμὸν φερόμενον ἀπὸ τοῦ περὶ τὸ Πύθιον ὄρους, ἀφ' οὗ καὶ τὸ πεδίον Αἰγαῖον.*

67.

Apollodor. II, 1, 1, 5: *Νιόβης δὲ καὶ Διός, ᾗ πρώτῃ γυναικὶ Ζεὺς θνητῇ ἐμίγη, παῖς Ἄργος ἐγένετο, ὡς δὲ Ἀκουσίλαός φησι, καὶ Πελασγός, ἀφ' οὗ κληθῆναι τοὺς τὴν Πελοπόννησον οἰκοῦντας Πελασγούς. Ἡσίοδος δὲ τὸν Πελασγὸν αὐτόχθονά φησιν εἶναι.* Cf. III, 8, 1, 1. Servius ad Verg. Aen. II, 83 Pelasgi] A Pelasgo terrae filio, qui in Arcadia genitus dicitur, ut Hesiodus tradit.

68.

*Υἱεῖς ἐξεγένοντο Λυκάονος ἀντιθέοιο,*
*ὅν ποτε τίκτε Πελασγός.*

Strab. V p. 221: *Τῷ δ' Ἐφόρῳ τοῦ ἐξ Ἀρκαδίας εἶναι τὸ φῦλον τοῦτο* (sc. *τοὺς Πελασγούς*) *ἦρξεν Ἡσίοδος. φησὶ γὰρ „υἱεῖς — Πελασγός".*

69.

Steph. Byz. v. *Παλλάντιον· πόλις Ἀρκαδίας, ἀπὸ Πάλλαντος, ἑνὸς τῶν Λυκάονος παίδων, ὡς Ἡσίοδος.*

---

Fragm. LXVIII. 1. Legebatur ἐξ ἐγέν.; emend. Coraes.

70.

Φέλλον ἐυμμελίην τέκετο κλειτὴ Μελίβοια.

Herodian. περὶ μον. λέξ. p. 11 (II p. 918 Lentz.) Φέλλος τὸ κύριον. Ἡσίοδος „Φέλλον — Μελιβοίᾳ".

71.

Οἳ πρόσθε φανὴν ἔντοσθεν ἔκευθον.

Ibid. p. 18 (II p. 924 Lentz.) Τὰ διὰ τοῦ ανη ἐκφερόμενα θηλυκὰ μονογενῆ ὑπὲρ δύο συλλαβὰς πάντα βαρύνεται, πτισάνη, δρεπάνη, σαργάνη, βρυκάνη, τρυπάνη· ἀλλὰ μόνον τὸ μηχανή σημειοῦται ὀξυνόμενον. προσέθηκα ὑπὲρ δύο συλλαβὰς διὰ τὸ φανή παρ' Ἡσιόδῳ ἐν δευτέρῳ (sc. καταλόγῳ) εἰρημένον „οἳ — ἔκευθον".

72.

Νοῦθος δὲ ποδῶν ὑπόδουπος ὀρώρει.

Ibid. p. 42 (II p. 947 Lentz.): νοῦθος κύριον, καὶ ψόφος, ἣν οἶδεν Ἡσίοδος[1]) ἐν τρίτῳ (sc. καταλόγῳ)· „νοῦθος — ὀρώρει".

73.

Σφὶν δ' αὐτοῖς μέγα πῆμα.

Apollon. Dysc. de pronom. p. 385 A Bekk.: ὑπὸ γὰρ Ἡσιόδου ἐν ἀρχῇ τεθεῖσα (ἡ σφίν) εὐλόγως ὠρθοτο-

---

Fragm. LXX. τέκε τῇ Μελιβοίᾳ cod., τέκετο κλειτὴ Μελίβοια Hermann, τέκετ' Αἰγείδῃ Μελίβοια Bergk Anacr. p. 260; τέκε τηλεκλυτὴ Μελίβοια vel τηλεκλυτῇ Μελιβοίῃ („ut ibi natus esse dicatur Phellus a nescio qua heroina") Goettl. τηλεκλειτὴ Lehrs.

Fragm. LXXII. ὑπόδουπος Lehrs; ὕπο δοῦπος vulgo.

1) Sic Lehrs; olim legebatur νοῦθος κύριον, ψόφος ἐν οὔδει. Ἡσίοδος κτλ.

Fragm. LXXIII. σφίν τ' Gramm. ap. Cram. — Apollonium locum Hesiodi Opp. 56 spectare censent Schaefer. Spohn. al.

*νήθη ἐν τρίτῳ* (sc. *καταλόγῳ*) „*σφὶν δ' — πῆμα*". Gramm. in Cram. Anecd. Oxon. I p. 388.

74.

Schol. Laur. ad Apoll. Rhod. I, 45: *Οὔτε Ὅμηρος οὔτε Ἡσίοδος οὔτε Φερεκύδης λέγουσι τὸν Ἴφικλον σὺν τοῖς Ἀργοναύταις.*

75.

Ibid. II, 181: *Πεπηρῶσθαι δὲ Φινέα φησὶν Ἡσίοδος ...... ἐν τῷ γ̄ καταλόγων, ἐπειδὴ τὸν μακρὸν χρόνον τῆς ὄψεως προέκρινεν.*

76.

Schol. Par. ad Apoll. Rhod. l. l. et Eudocia p. 416, 8: *Παῖδας δέ φησιν αὐτῷ* (sc. *τῷ Φινεῖ*) *γενέσθαι Ἡσίοδος δύο, Θυνὸν*[1]) *καὶ Μαριανδυνόν.* Cf. Schol. Laur. ad loc.

77.

Apollodor. I, 9, 21, 6: *Διωκομένων δὲ τῶν ἁρπυιῶν ἣ μὲν κατὰ Πελοπόννησον εἰς τὸν Τίγρην ποταμὸν ἐμπίπτει, ὃς νῦν ἀπ' ἐκείνης Ἅρπυς καλεῖται. ταύτην δὲ οἱ μὲν Νικοθόην οἱ δὲ Ἀελλόπουν καλοῦσιν. ἡ δὲ ἑτέρα καλουμένη Ὠκυπέτη, ὡς δὲ ἔνιοι Ὠκυθόη* (*Ἡσίοδος δὲ λέγει αὐτὴν Ὠκυπόδην*), *αὕτη κατὰ τὴν Προποντίδα φεύγουσα μέχρι Ἐχινάδων ἦλθε νήσων, αἳ νῦν ἀπ' ἐκείνης Στροφάδες καλοῦνται.*

78.

*Ἔνθ' οἵ γ' εὐχέσθην Αἰνηίῳ ὑψιμέδοντι.*

---

1) Sic Schol. Laur.; *Θυννὸν* Schol. Par. c. Eudoc. Fragm. LXXVIII. *οἳ εὔχεσθον* Cod. Par.

Schol. Laur. ad Apoll. Rhod. II, 297: Ὅτι δὲ ηὔξαντο οἱ περὶ Ζήτην τῷ Διὶ στραφέντες λέγει καὶ Ἡσίοδος „Ἔνθ' — ὑψιμέδοντι". [Schol. Par.: Ὅτι δὲ ηὔξαντο τῷ Διὶ καταλαβεῖν αὐτάς (sc. Harpyias), λέγει κτλ.] ἔστι γὰρ Αἶνος ὄρος τῆς Κεφαλληνίας, ὅπου Αἰνησίου Διὸς ἱερόν ἐστιν.

79.

Ibid. paullo infra: Ἀπολλώνιος μὲν οὖν τὴν ἀποστρέψασαν τοὺς περὶ Ζήτην Ἶριν λέγει, Ἡσίοδος δὲ Ερμῆν.

80.

Schol. Laur. ad Apoll. Rhod. II, 296: Οἱ δὲ Στροφάδας φασὶν αὐτὰς κεκλῆσθαι, καθὸ ἐπιστραφέντες αὐτόθι ηὔξαντο τῷ Διὶ καταλαβεῖν τὰς Ἁρπυίας. κατὰ δὲ Ἡσίοδον καὶ Ἀντίμαχον καὶ Ἀπολλώνιον οὐ κτείνονται.

81.

Harpocration et Suidas [II, 2 p. 1358 Bernh.] v. ὑπὸ γῆν οἰκοῦντες· λέγοι ἂν τοὺς ὑπὸ Σκύλακος ἐν τῷ Περίπλῳ λεγομένους Τρωγλοδύτας καὶ τοὺς ὑπὸ Ἡσιόδου ἐν γ' καταλόγου Κατουδαίους ὀνομαζομένους.

82.

Strab. I p. 43: Ἡσιόδου δ' οὐκ ἄν τις αἰτιάσαιτο ἄγνοιαν, Ἡμίκυνας λέγοντος καὶ Μακροκεφάλους καὶ Πυγμαίους. VII p. 299: καὶ γὰρ τοὺς ἔτι νεωτέρους

---

Fragmm. LXXXI. LXXXII ad Argonautarum expeditionem a poeta enarratam retulit Marckscheff.

ἐκείνου πολλὰ ἀγνοεῖν καὶ τερατολογεῖν, Ἡσίοδον μὲν Ἡμίκυνας λέγοντα καὶ Μεγαλοκεφάλους καὶ Πυγμαίους. Harpocr. v. Μακροκέφαλοι· ἔθνος ἐστὶν οὕτω καλούμενον, οὗ καὶ Ἡσίοδος μέμνηται ἐν γ' γυναικῶν καταλόγῳ. Παλαίφατος δ' ἐν ζ' Τρωικῶν ἐν τῇ Λιβύῃ φησὶν ὑπεράνω Κόλχων οἰκεῖν τοὺς Μακροκεφάλους.[1]) Steph. Byz. v. Ἡμίκυνες.

83.

Schol. Laur. ad Apoll. Rhod. IV, 284: Ἡσίοδος δὲ διὰ Φάσιδος αὐτοὺς (sc. τοὺς Ἀργοναύτας) εἰσπεπλευκέναι λέγει.

84.

Ibid. ad IV, 259: Ἡσίοδος δὲ καὶ Πίνδαρος ........ διὰ τοῦ Ὠκεανοῦ φασιν ἐλθεῖν αὐτοὺς (τοὺς Ἀργοναύτας) εἰς Λιβύην καὶ βαστάσαντας τὴν Ἀργὼ εἰς τὸ ἡμέτερον πέλαγος γενέσθαι.

85.

Strab. I p. 23: Ἐρατοσθένης δὲ Ἡσίοδον μὲν εἰκάζει πεπυσμένον περὶ τῆς Ὀδυσσέως πλάνης ὅτι κατὰ Σικελίαν καὶ Ἰταλίαν γεγένηται, πιστεύσαντα τῇ δόξῃ μὴ μόνον τῶν ὑφ' Ὁμήρου λεγομένων μεμνῆσθαι, ἀλλὰ καὶ Αἴτνης καὶ Ὀρτυγίας τοῦ πρὸς Συρακούσαις νησίου καὶ Τυρρηνῶν.

---

1) „Hesiodum Μακροκαρήνους eam gentem vocasse coniicit Meinekius ad fragm. Menandri p. 11. Recte. Nam etiam in Theogonia v. 287. Mss. habent τρικέφαλον pro τρικάρηνον". Goettl.

86.

Schol. Laur. ad Apoll. Rhod. III, 311: *Ἠκολούθησεν Ἀπολλώνιος τοῖς κατὰ τὸ Τυρσηνικὸν πέλαγος ὑποτιθεμένοις τὴν Ὀδυσσέως πλάνην, ὧν ἀρχηγὸς Ἡσίοδος κατῳκηκέναι λέγων Κίρκην ἐν τῷ προειρημένῳ πελάγει.*

87.

Ibid. paullo infra: *Φησὶ δὲ Ἀπολλώνιος Ἡσιόδῳ ἑπόμενος ἐπὶ τοῦ ἅρματος τοῦ Ἡλίου εἰς τὴν κατὰ Τυρρηνίαν κειμένην νῆσον τὴν Κίρκην ἐλθεῖν.*

88.

*Νῆσον ἐς Ἀνθεμόεσσαν, ἵνα σφίσι δῶκε Κρονίων.*

Schol. Laur. ad Apoll. Rhod. IV, 892 *καλὴν Ἀνθεμόεσσαν] Ἠκολούθησεν Ἡσιόδῳ οὕτως ὀνομάζοντι τὴν νῆσον τῶν Σειρήνων „νῆσον — Κρονίων". ὀνόματα δὲ αὐτῶν Θελξίοπη ἢ Θελξινόη, Μολπή, Ἀγλαόφωνος.*

89.

Eustath. ad Od. *μ*, 169 p. 1710, 39 Rom. 472 Bas.: *Ἐνταῦθα δέ φασιν οἱ παλαιοί, ὡς ἐντεῦθεν λαβὼν Ἡσίοδος ἐμυθεύσατο ὑπὸ Σειρήνων καὶ τοὺς ἀνέμους θέλγεσθαι.* Schol. ad v. 168 *ἐντεῦθεν Ἡσίοδος καὶ τοὺς ἀνέμους θέλγειν αὐτὰς ἔφη.* Et paullo infra: *τινὲς δὲ ὅτι καὶ τοὺς ἀνέμους ἵστασαν γοητεύουσαι τῇ φωνῇ.*

90.

Schol. ad Hom. Od. *α*, 85 *Ὠγυγίην] Ἐν τῇ κατ' Ἀντίμαχον Ὠγυλίην γράφεται· διαφέρουσι δὲ οἱ τόποι. τὴν μὲν γὰρ Ὠγυγίαν ἐντὸς εἶναι πρὸς ἑσπέραν, τὴν*

δὲ Ὠγυλίαν κατὰ Κρήτην Ἡσίοδός φησι κεῖσθαι. λέγεται δὲ ὀνοματικῶς ἡ Καλυψοῦς νῆσος.

91.

Schol. ad Hom. Od. η, 54: Ἡσίοδος δὲ ἀδελφὴν Ἀλκινόου τὴν Ἀρήτην ὑπέλαβεν.

92.

Steph. Byz. v. Ὑπερησία· πόλις τῆς Ἀχαΐας ....... τὸ ἐθνικὸν τῆς Ὑπερησίας Ὑπερησιεύς, καὶ θηλυκὸν Ὑπερησὶς παρ' Ἡσιόδῳ.

93.

*Τὴν δ' Ἀμαρυγκείδης Ἱππόστρατος, ὄζος Ἄρηος,*
*Φυκτέος ἀγλαὸς υἱός, Ἐπειῶν ὄρχαμος ἀνδρῶν .......*

Schol. ad Pind. Ol. X (XI), 46 p. 246 Boeckh. Τὴν πόλιν δὲ καλεῖσθαί φασι Φύκτεον ἀπό τινος Φυκτέως, οὗ μέμνηται καὶ Ἡσίοδος οὕτω· „τὴν — ἀνδρῶν". Apollodor. I, 8, 4: Ἀλθαίας δὲ ἀποθανούσης ἔγημεν Οἰνεὺς Περίβοιαν τὴν Ἱππονόου· ταύτην δὲ ὁ μὲν γράψας τὴν Θηβαΐδα πολεμηθείσης Ὠλένου λέγει λαβεῖν Οἰνέα γέρας, Ἡσίοδος δὲ ἐξ Ὠλένου τῆς Ἀχαΐας, ἐφθαρμένην ὑπὸ Ἱπποστράτου τοῦ Ἀμαρυγκέως, Ἱππόνουν τὸν πατέρα πέμψαι πρὸς Οἰνέα πόρρω τῆς Ἑλλάδος ὄντα, ἐντειλάμενον ἀποκτεῖναι.

94.

*Ὤικεε δ' Ὠλενίην πέτρην ποταμοῖο παρ' ὄχθας*
*εὐρείος Πείροιο.*

Fragm. XCIII. 2. Legebatur Φυκτέως, emendatum ab Heins. Boeckh. — „Vereor, ne scribendum sit Φυκτέως τ' ἀγλαὸς υἱός, ita ut ἥρπαξαν vel ἔφθειραν vel simile vocabulum intelligatur". Goettl.

Fragm. XCIV. 1. ὄχθαις Heyne ad Il. *B*, 617.

Strab. VIII p. 342: *Ὁ δὲ Τευθέας εἰς τὸν Ἀχελῶον ἐμβάλλει τὸν κατὰ Δύμην ῥέοντα, ὁμώνυμον τῷ κατὰ Ἀκαρνανίαν, καλούμενον καὶ Πεῖρον. Τοῦ δ' Ἡσιόδου εἰπόντος „ᾤκεε — Πείροιο", μεταγράφουσί τινες Πώροιο*[1]) *οὐκ εὖ.* Poetae verba „*ᾤκεε — ποταμοῖο*" affert Steph. Byz. v. *Ὤλενος.* Ex Stephano haurit Eustath. ad. Il. p. 882 sq. Rom. 834 sq. Hoc fragmentum ad Periboeam referendum esse censet Ruhnken.

95.

Diod. V, 81: *Μετὰ δὲ ταῦτα* (sc. *τὸν κατὰ Δευκαλίωνα κατακλυσμὸν*) *Μακαρεὺς εἰς αὐτὴν* (sc. *τὴν Λέσβον*) *ἀφικόμενος καὶ τὸ κάλλος τῆς χώρας κατανοήσας κατῴκησεν αὐτήν. ἦν δ' ὁ Μακαρεὺς υἱὸς μὲν Κρινάκου τοῦ Διός, ὥς φησιν Ἡσίοδος καὶ ἄλλοι τινὲς τῶν ποιητῶν, κατοικῶν δ' ἐν Ὠλένῳ τῆς τότε μὲν Ἰάδος νῦν δ' Ἀχαΐας καλουμένης.*

96.

*Ἡ δ' ὑποκυσαμένη τέκεν Αἰακὸν ἱππιοχάρμην·*
*αὐτὰρ ἐπεί ῥ' ἥβης πολυηράτου ἵκετο μέτρον,*
*μοῦνος ἐὼν ἤσχαλλε· πατὴρ δ' ἀνδρῶν τε θεῶν τε,*
*ὅσσοι ἔσαν μύρμηκες ἐπηράτου ἔνδοθι νήσου,*
*τοὺς ἄνδρας ποίησε βαθυζώνους τε γυναῖκας.*
*οἳ δ' ἤτοι πρῶτον ζεῦξαν νέας ἀμφιελίσσας,*
*πρῶτοι δ' ἱστία θέντο νεὼς πτερὰ ποντοπόροιο.*

---

1) *Πιέροιο* Meineke in praefat.

Fragm. XCVI. 6. *δ' ἤτοι* Dind. Marcksch.; vulgo *δή τοι* (*δ' ἦτοι* more suo Boeckh.). — *πρῶτον*] Sic Schol. Pind. utroque loco; *πρῶτοι* codd. Vit. 1 Ciz. ap. Tzetz. „Coniicitur *πρῶτοι*, quod omnino expectes: neque tamen reponere audeo, quod etiam Schol. Nem. III, 21 servat gratius sonans *πρῶτον*". Boeckh. ad Schol. p. 191. — *τεῦξαν* Schol. ad Ol. — 7. *θέντο*]

Tzetz. ad Lycophr. 176: *Λέγουσιν, ὅτι Αἰακὸς ἐξ Αἰγίνης καὶ Διὸς γεννηθεὶς ἐν τῇ ἀπ' αὐτῆς Αἰγίνῃ νήσῳ κατελείφθη μόνος, ᾐτήσατο δὲ τῷ Διί, καὶ ὃς τοὺς μύρμηκας ἀνθρώπους ἐποίησε, καθὰ καὶ Ἡσίοδος ἐν τῇ ἡρωικῇ γενεαλογίᾳ φησίν·* „*ἣ — ἀμφιελίσσας*" (V. 1—6). Eosdem versus affert Schol. ad Pind. Nem. III, 21. Versum septimum debemus Schol. ad Pind. Ol. VIII, 26. [Verba *νεὼς πτερὰ* affert Schol. Aristid. p. 54 Dind.]

97.

*Αἰακίδας, πολέμῳ κεχαρηότας ἠύτε δαιτί.*

Polyb. V, 2: *Λειτουργοί γε μὴν περὶ τὰς ταφρείας καὶ χαρακοποιίας καὶ πᾶσαν τὴν τοιαύτην ταλαιπωρίαν φιλοπονώτατοί τινες· οἵους Ἡσίοδος παρεισάγει τοὺς* „*Αἰακίδας — δαιτί*". E Polybio hausit Suid. v. *δαῖτας* (I, 1 p. 1189 Bernh.).

98.

*Τρὶς μάκαρ Αἰακίδη καὶ τετράκις, ὄλβιε Πηλεῦ,*
*ὃς τοῖσδ' ἐν μεγάροις ἱερὸν λέχος εἰσαναβαίνεις.*

Tzetz. prol. ad Lycophr. p. 260 Müll.: *Ἐπιθαλαμιογράφοι δὲ ποιηταί, ὅσοι πρὸς τοὺς νυμφίους ἐν γάμοις ἐγκώμια ἔγραφον, οἷος ἦν ὁ Ἀγαμήστωρ ὁ Φαρσάλιος καὶ ἕτεροι, καὶ Ἡσίοδος αὐτὸς γράψας ἐπιθαλάμιον*[1]) *εἰς Πηλέα καὶ Θέτιν·* „*τρὶς — εἰσαναβαίνεις*". Cf. Phavorin. Lex. p. 612, a. [p. 706, 35 Bas.]

---

Sic Heinsius. *θέσσαν νεὼς πτ.* Schol. Pind. [*θέσσαν ἐπὶ πτ.* cod. Gott., unde Boeckh. *πρῶτοι δ' ἱστία θέσσαν ἔπι πτερὰ ποντοπόροιο | νηὸς* .... vel *πρῶτοι δ' ἱστία νηὸς ἐπὶ πτερὰ ποντ. | θέσσαν* ....] — Alia quae vir doctus excogitavit, iure improbat Herm., qui propos. *πρῶτοι δ' ἱστία θέσσαν ἔπι πτερὰ ποντοπορούσαις* sive *ποντοπορῆσαι.*

1) al. *ἐπιθαλάμια.*

99.

Schol. Vict. ad Il. *Π*, 175 de Pelei filia: *Ζηνόδοτος δὲ Κλεοδώρην φησίν, Ἡσιόδου καὶ τῶν ἄλλων Πολυδώρην αὐτὴν καλούντων.*

100.

Eustath. ad Il. p. 112, 45 sqq. 85 Bas. *Ἰστέον δὲ ὅτι τὸν Πάτροκλον ἡ παλαιὰ ἱστορία καὶ συγγενῆ τῷ Ἀχιλλεῖ παραδίδωσι, λέγουσα ὅτι Ἡσίοδός φησι Μενοίτιον τὸν Πατρόκλου πατέρα, Πηλέως εἶναι ἀδελφόν, ὡς εἶναι αὐτανεψίους οὕτως ἀμφοτέρους ἀλλήλοις.* Eudoc. p. 331, 19 sqq.

101.

Schol. Ven. *A* ad Hom. Il. *Z*, 35: *Ἀχιλλεὺς ὑπὸ τὸν Τρωικὸν πόλεμον πορθῶν τὰς περιοίκους τῆς Ἰλίου πόλεις ἀφίκετο εἰς τὴν πάλαι μὲν Μονηνίαν, νῦν δὲ Πήδασον καλουμένην, καὶ αὐτὴν σὺν ταῖς ἄλλαις ἑλεῖν. ἀπογνόντος δὲ αὐτοῦ τὴν εἰς τὸ τέλος πολιορκίαν διὰ τὴν ὀχυρότητα τοῦ τόπου καὶ μέλλοντος ἀναχωρεῖν, φασὶν εἴσω τῶν τειχῶν οὖσάν τινα παρθένον ἐρασθῆναι τοῦ Ἀχιλλέως καὶ λαβοῦσαν μῆλον εἰς τοῦτο ἐπιγράψαι καὶ ῥῖψαι εἰς μέσον τῶν Ἀχαιῶν· ἦν δὲ ἐν αὐτῷ γεγραμμένον· „μὴ σπεῦδ', Ἀχιλλεῦ, πρὶν Μονηνίαν ἑλεῖν· | ὕδωρ γὰρ οὐκ ἔνεστι· διψῶσιν κακῶς“. τὸν δὲ Ἀχιλλέα ἐπιμείναντα οὕτω λαβεῖν τὴν πόλιν τῇ τοῦ ὕδατας σπάνει. ἡ ἱστορία παρὰ Δημητρίῳ καὶ Ἡσιόδῳ.* Cf. Welcker. Cycl. ep. I p. 282. not. 458.

102.

Ἤτοι ὃ μὲν Σῆρον καὶ Ἀλάζυγον, υἱέας ἐσθλούς.

Schol. ad Pind. Ol. X (XI), 83 p. 253 Boeckh. Ἁλιρρόθιος Μαντινεὺς ὁμώνυμος τῷ Ἀθηναίῳ, ὃς ἦν Ποσειδῶνος καὶ Βαθυκλείας· ἔνιοι δὲ γράφουσι Σῆρος Ἁλιρροθίου, οὗ μέμνηται καὶ Ἡσίοδος· „ἤτοι — ἐσθλούς". ἦν δὲ ὁ Σῆρος τοῦ Ἁλιρροθίου τοῦ Περιήρους καὶ Ἀλκυόνης.

103.

Pausan. II, 26, 7 (6): Ὁ δὲ τρίτος τῶν λόγων ἥκιστα, ἐμοὶ δοκεῖν, ἀληθής ἐστιν, Ἀρσινόης ποιήσας εἶναι τῆς Λευκίππου παῖδα Ἀσκληπιόν. Ἀπολλοφάνει γὰρ τῷ Ἀρκάδι ἐς Δελφοὺς ἐλθόντι καὶ ἐρομένῳ τὸν θεὸν εἰ γένοιτο ἐξ Ἀρσινόης Ἀσκληπιὸς καὶ Μεσσηνίοις πολίτης εἴη, ἔχρησεν ἡ Πυθία· „ὦ μέγα χάρμα βροτοῖς βλαστὼν Ἀσκληπιὲ πᾶσιν, | ὃν Φλεγυηὶς ἔτικτεν ἐμοὶ φιλότητι μιγεῖσα | ἱμερόεσσα Κορωνὶς ἐνὶ κραναῇ Ἐπιδαύρῳ". οὗτος ὁ χρησμὸς δηλοῖ μάλιστα οὐκ ὄντα Ἀσκληπιὸν Ἀρσινόης, ἀλλὰ Ἡσίοδον ἢ τῶν τινὰ ἐμπεποιηκότων ἐς τὰ Ἡσιόδου τὰ ἔπη συνθέντα ἐς τὴν Μεσσηνίων χάριν. Cf. Schol. ad Pind. Pyth. III, 14: Οἱ μὲν Ἀρσινόης, οἱ δὲ Κορωνίδος φασὶν αὐτὸν (sc. τὸν Ἀσκληπιὸν) εἶναι. Ἀσκληπιάδης δέ φησι τὴν Ἀρσινόην Λευκίππου εἶναι τοῦ Περιήρους, ἧς καὶ Ἀπόλλωνος Ἀσκληπιὸς καὶ θυγάτηρ Ἐριῶπις.[1]) „ἡ δ' ἔτεκ' ἐν μεγάροις Ἀσκληπιὸν ὄρχαμον ἀνδρῶν, | Φοίβῳ ὑποδμη-

Fragm. CII. Ἀλάζογον codd.; corr. Heyne.

1) Excidit nomen poetae, ut saepius ap. Schol. Pind.; cf. ad Nem. II, 16. III, 38. 64.

θεῖσα ἐυπλόκαμόν[1]) τ' Ἐριῶπιν". καὶ Ἀρσινόης (leg. Ἡσίοδος[2])) ὁμοίως·

Ἀρσινόη δὲ μιγεῖσα Διὸς καὶ Λητοῦς υἱῷ
τίκτ' Ἀσκληπιὸν υἱὸν ἀμύμονά τε κρατερόν τε.

104.

Schol. ad Pind. Pyth. IV, 181: Ὁ δὲ Ἡσίοδος Ναΐδα φησὶ τὸν Χείρωνα γῆμαι.

105.

Πατὴρ δ' ἀνδρῶν τε θεῶν τε
χώσατ', ἀπ' Οὐλύμπου δὲ βαλὼν ψολόεντι κεραυνῷ
ἔκτανε Λητοΐδην, ὀλοὸν σὺν θυμὸν ὀρίνων.

Athenag. Legat. pro Christ. cap. XXV, 7 p. 195 Lindner: περὶ δὲ Ἀσκληπιοῦ Ἡσίοδος μὲν „πατὴρ — ὀρίνων".

106.

Schol. ad Hes. Theog. 142 οἳ δ' ἤτοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν] Κράτης ἀντὶ τούτου ἄλλον στίχον παρατίθεται· „οἳ δ' ἐξ ἀθανάτων θνητοὶ τράφεν αὐδήεντες". πῶς γὰρ τοὺς αὐτοὺς (sc. τοὺς Κύκλωπας) θεοῖς ἐναλιγκίους λέγει καὶ ἐν τῷ τῶν Λευκιππίδων καταλόγῳ ὑπὸ Ἀπόλλωνος ἀναιρεῖσθαι ποιεῖ;

107.

Schol. ad Eur. Alc. 1: ἡ διὰ στόματος καὶ δημώδης ἱστορία περὶ τῆς Ἀπόλλωνος θητείας παρ' Ἀδμήτῳ

1) ὑποδμηθεῖσ' ἠΰπλ. Goettl. opuscc. academm. p. 196.
2) In Ἀρσινόης nomen poetae nostri latere probabilis est coniectura Marckscheffelii. Cf. Goettl. l. l.

Fragm. CV. 3. ὀλοὸν Koechly ad Quint. Smyrn. III, 630; φίλον vulgo. Λητοΐδῃ (Apollini) δὲ φίλον — ὄρινεν Isler Quaest. Hes. spec. p. 11. — Λητοΐδαο φίλον κτλ. Kiesel de hymno in Apoll. Hom. p. 126.

αὕτη ἐστίν, ᾗ κέχρηται νῦν Εὐριπίδης. οὕτω δέ φησι καὶ Ἡσίοδος.

108.

Schol. Ven. A ad Hom. Il. Δ, 195: Μαχάων δὲ οὗτος υἱὸς Ἀσκληπιοῦ καὶ Ἀρσινόης ἢ Κορωνίδος· ..... κατὰ δὲ Ἡσίοδον Ξάνθης[1]).

109.

*Τιμάνδρην Ἔχεμος θαλερὴν ποιήσατ' ἄκοιτιν.*

Schol. Pind. Ol. X (XI), 79 p. 252 Boeckh.: ὑπὸ δὲ τούτου τοῦ Ἐχέμου τὸν Ὕλλον φασὶ τελευτῆσαι κατιόντα εἰς Πελοπόννησον· ἐγάμησε δὲ τὴν Τιμάνδραν. Ἡσίοδος· „Τιμάνδρην (φησὶν) — ἄκοιτιν". Cf. Paus. VIII, 5, 1 et Serv. ad Verg. Aen. VIII, 130: Quaeritur sane, unde Evander Atridis genere fuerit coniunctus. Et quamvis Hesiodus dicat, qualiter coniunctus sit Evander, tamen quidam aiunt Thestii[2]) filias Ledam et Hypermnestram[3]) fuisse, Ledae et Tyndarei filias Clytemnestram, Helenam et Timandram[4]) fuisse, quam duxit uxorem Echemus[5]) Arcas, cuius filius Evander.

110.

Schol. ad Pind. Nem. X, 150 de Castore et Polluce: ὁ μὲν Ἡσίοδος ἀμφοτέρους Διὸς εἶναι γενεαλογεῖ.

111.

Schol. ad Pind. l. l. paullo infra: ὁ μέντοι Ἡσίοδος

---

1) Ξανθινόης Scholl. minn. [Schol. Par. ap. Cram. Anecd. Par. III p. 282.] 2) Sic Marcksch. ex Apollod. III, 10, 5, 2; Thyestae Serv. 3) Cf. Apollodor. I, 7, 10, 1. 4) Tymandram Serv. 5) Cohemus Serv.; corr. Marcksch.

οὔτε Λήδας οὔτε Νεμέσεως δίδωσι τὴν Ἑλένην, ἀλλὰ θυγατέρα Ὠκεανοῦ καὶ Τηθύος[1]).

112.

Τῇσιν δὲ φιλομμειδὴς Ἀφροδίτη
ἠγάσθη προσιδοῦσα, κακὴν δέ σφ' ἔμβαλε φήμην.
Τιμάνδρη μὲν ἔπειτ' Ἔχεμον προλιποῦσ' ἐβεβήκει,
ἵκετο δ' ἐς Φυλῆα, φίλον μακάρεσσι θεοῖσιν.
ὣς δὲ Κλυταιμνήστρη προλιποῦσ' Ἀγαμέμνονα δῖον
Αἰγίσθῳ παρέλεκτο καὶ εἵλετο χείρον' ἀκοίτην·
ὣς δ' Ἑλένη ᾔσχυνε λέχος ξανθοῦ Μενελάου.

Schol. ad Eur. Orest. 249: Στησίχορός φησιν ὡς θύων τοῖς θεοῖς Τυνδάρεως Ἀφροδίτης ἐπελάθετο, δι' ὃ ὀργισθεῖσα ἡ θεὸς διγάμους τε καὶ τριγάμους καὶ λειψάνδρους αὐτοῦ τὰς θυγατέρας ἐποίησεν. ........ καὶ Ἡσίοδος δὲ „τῇσιν — Μενελάου". — Poetae verba Φυλῆα — θεοῖσι (V. 4) affert Eustath. p. 125, 28

1) Τηθύος] Διός ed. Rom.; θυγ. Ὠκεανίδος καὶ Διός Heyne ad Apollod. III, 10, 7. (II p. 285.)

Fragm. CXII. Sigla: *M* = Marc., *A* = Vat., *B* = Par., *I* = edit. princeps ab Arsenio curata. — 2. δέ σφ' ἔμβαλε] Sic *B*; reliquorum corruptelas v. ap. Dind. — 3 sqq. „Post φήμην in *I* pergitur καὶ Ὅμηρος ὡς δὲ κλυταιμνήστρα λιποῦσ' etc. ubi καὶ Ὅμηρος haud dubie ab Arsenio est insertum lacunam codicis sui utcunque explente. In *B* post φήμην: — novum incipit scholion, cuius verba prima obliterata, reliqua inde a προλιποῦσ' ἐβεβήκει a manu recentiore sunt instaurata. Omnia integra in *AM*, etsi partim corrupta". Dind. V. 3—7 Hesiodo reddidit Cobet, qui cod. Marc. (471 fol. 48r) inspexit eiusque lectiones cum Geelio communicavit. — 3. τίσ ἀνδρὶ μένει εἴτ' ἔχετον *M*, πεισάνδρη μὲν ἔπειτ' ἔχετον *A*; 4. ἵκετο δ' εἰ σφιαία φίλον κτλ. *M*. Huius loci corruptissimi emendatio debetur Geelii acumini; cf. Goettl. praefat. ad Hes. p. LX (ed. alt.). — Φυλῆα postea in *B* repertum est (φλῆα *A*). — 5. ὡς δὲ κλυταιμνήστρα λιποῦσ' libri; corr. Cobet. — 6. χείρον' ἀκοίτην] Sic *BI*; χείρονα κοίτην *AM*. — 7. ὣς δ'] ὡς δ' *ABI*. ὧδ' *M*.

Rom. 94 Bas., *Φυλῆα φίλον μακάρεσσι* p. 126, 10 sq. Rom. 95 Bas., *Φυλῆα φίλον* p. 797, 46 Rom. 714 Bas.[1]) cf. eund. p. 305, 17 Rom. 231 Bas. *Φυλεὺς γάρ, φασι, μοιχεύσας Τιμάνδραν ἀδελφὴν Ἑλένης καὶ Κλυταιμνήστρας ἀπήγαγεν εἰς τὸ Δουλίχιον.*

113.

Schol. Vict. ad Hom. Il. *Τ*, 240 *Λυκομήδεα*] *Κρὴς ὁ Λυκομήδης, ὥς φησιν Ἡσίοδος καταλέγων τοὺς μνηστῆρας Ἑλένης.*

114.

Paus. III, 24, 10 (7): *καὶ ὅτι μὲν τῶν Ἑλένης μνηστήρων Ἀχιλλεὺς οὐκ ἔστιν ἐν καταλόγῳ γυναικῶν, μηδὲν τοῦτο ἔστω τεκμήριον οὐκ αἰτῆσαι Ἑλένην αὐτόν.*

115.

Schol. Ven. A ad Il. *Τ*, 116 *ἄλοχον Σθενέλου*] *Δίδυμος παρατίθεται Φερεκύδην μὲν λέγοντα αὐτὴν τὴν Πέλοπος Ἀμφιβίαν· Ἡσίοδος δὲ Ἀντιβίαν τὴν Ἀμφιδάμαντος ἀποφαίνεται.* Sed Schol. Vict. ad loc.: *Οἱ μὲν Ἀμφιβίαν τὴν Πέλοπος, οἱ δὲ Ἀντιβίαν τὴν Ἀμφιδάμαντος. Ἡσίοδος δὲ Νικίππην φησὶ τὴν Πέλοπος.*[2])

116.

Tzetz. Exeg. in Il. p. 68 sq.[3]): *Ὁ Ἀγαμέμνων, ὁμοίως δὲ καὶ Μενέλαος, καθ' Ἡσίοδον καὶ Αἰσχύλον Πλεισθένους υἱοῦ Ἀτρέως παῖδες νομίζονται· κατὰ δὲ*

1) *Φυλέα* Eust. 2) „Alterutrum scholion aliquid vitii contraxit" Marcksch. 3) Cf. Matrang. Anecd. Gr. p. 379.

τὸν ποιητὴν καὶ πάντας ἁπλῶς, Ἀτρέως αὐτοῦ ....... Ἀτρέως δὲ καὶ Ἀερόπης, κατὰ μὲν τὸν ποιητὴν καὶ πάντας ἁπλῶς, Ἀγαμέμνων, Μενέλαος, καὶ Ἀναξιβία, ἡ μήτηρ Πυλάδου· κατὰ δὲ Ἡσίοδον καὶ Αἰσχύλον καὶ ἄλλους τινὰς Ἀτρέως καὶ Ἀερόπης Πλεισθένης· Πλεισθένους δὲ καὶ Κλεόλλας τῆς Δίαντος Ἀγαμέμνων, Μενέλαος, καὶ Ἀναξιβία· νέου δὲ τοῦ Πλεισθένους τελευτήσαντος, ὑπὸ τοῦ πάππου αὐτῶν ἀνατραφέντες Ἀτρέως, Ἀτρεῖδαι πολλοῖς ἐνομίζοντο. Cf. Scholl. Ven. et minn. ad Hom. Il. *Α*, 7. *Β*, 249. Eustath. ad Il. p. 21, 13 Rom. 16 Bas. Eudoc. p. 23, 18. Schol. ad Tzetz. Alleg. in Cram. Anecd. Oxon. III p. 378.

117.

Ἡ τέκεθ' Ἑρμιόνην δουρικλειτῷ Μενελάῳ·
ὁπλότατον δ' ἔτεκεν Νικόστρατον, ὄζον Ἄρηος.

Schol. Laur. ad Soph. El. 539: ὅμως οὐ[1]) συμφωνεῖ αὐτῷ (sc. τῷ Σοφοκλεῖ) Ἡσίοδος· „ἣ — Ἄρηος".

118.

Paus. I, 43, 1: Λέγουσι δὲ (sc. οἱ Μεγαρεῖς) εἶναι καὶ Ἰφιγενείας ἡρῷον· ἀποθανεῖν γὰρ καὶ ταύτην ἐν Μεγάροις. ἐγὼ δὲ ἤκουσα μὲν καὶ ἄλλον ἐς Ἰφιγένειαν λόγον ὑπὸ Ἀρκάδων λεγόμενον, οἶδα δὲ Ἡσίοδον ποιήσαντα ἐν καταλόγῳ γυναικῶν Ἰφιγένειαν οὐκ ἀποθανεῖν, γνώμῃ δὲ Ἀρτέμιδος Ἑκάτην εἶναι.

119.

Eustath. ad Hom. Il. p. 13, 43 sq. 11 Bas. (cf.

---

Fragm. CXVII. δουρικλειτῷ] Sic Marcksch.; δουρικλυτῷ cod.
1) οὐ corruptum; om. Brunck. Goettl., οὕτω Elmsley.

Phavorin. Eclog. p. 361, 9[1])) Ἦν δέ, φασι, Βούτης υἱὸς Ποσειδῶνος, ὡς Ἡσίοδος ἐν καταλόγῳ.

120.

Aelian. Var. Hist. XII, 20: λέγει Ἡσίοδος, τὴν ἀηδόνα μόνην ὀρνίθων ἀμοιρεῖν[2]) ὕπνου καὶ διὰ τέλους ἀγρυπνεῖν. τὴν δὲ χελιδόνα οὐκ ἐς τὸ παντελὲς ἀγρυπνεῖν καὶ ταύτην, ἀποβεβληκέναι δὲ[3]) τοῦ ὕπνου τὸ ἥμισυ. τιμωρίαν δὲ ἄρα ταύτην ἐκτίνουσι διὰ τὸ πάθος τὸ ἐν Θρᾴκῃ κατατολμηθὲν[4]) τὸ ἐς τὸ δεῖπνον ἐκεῖνο τὸ ἄθεσμον. De Procne et Philomela dicta fuisse ci. Marckscheffel.

121.

Paus. II, 6, 5 (3): Σικυῶνα δὲ οὐ Μαραθῶνος τοῦ Ἐπωπέως, Μητίονος δὲ εἶναι τοῦ Ἐρεχθέως φασίν (Sicyonii). ὁμολογεῖ δέ σφισι καὶ Ἄσιος, ἐπεὶ Ἡσίοδός γε καὶ Ἴβυκος, ὁ μὲν ἐποίησεν ὡς Ἐρεχθέως εἴη Σικυών, Ἴβυκος δὲ κτλ.

122.

Paus. I, 3, 1: ταύτης ἔπεστι τῷ κεράμῳ τῆς στοᾶς ἀγάλματα ὀπτῆς γῆς, ἀφιεὶς Θησεὺς ἐς θάλασσαν Σκείρωνα καὶ φέρουσα Ἡμέρα Κέφαλον, ὃν κάλλιστον γενόμενόν φασιν ὑπὸ Ἡμέρας ἐρασθείσης ἁρπασθῆναι, καί οἱ παῖδα γενέσθαι Φαέθοντα ....[5]) καὶ φύλακα ἐποίησε τοῦ ναοῦ. ταῦτα ἄλλοι τε καὶ Ἡσίοδος εἴρηκεν ἐν ἔπεσι τοῖς ἐς τὰς γυναῖκας.

1) Phavorini Eclogis uti non licuit. 2) Sic Dukerus; ἀμελεῖν vulgo. 3) Sic Hercher; δὲ ἀπολωλέναι vulgo. 4) Legebatur διατολμηθέν; corr. Cor. Herch. 5) Lacunae signa pos. Schubart.

123.

*Μίνως, ὃς βασιλεύτατος ἦν θνητῶν βασιλήων,*
*καὶ πλείστων ἤνασσε περικτιόνων ἀνθρώπων*
*Ζηνὸς ἔχων σκῆπτρον· τῷ καὶ πολέων βασίλευε.*

Pseudo-Plat. Min. p. 320 C: *εἴρηκε δὲ καὶ Ἡσίοδος ἀδελφὰ τούτων εἰς τὸν Μίνων. μνησθεὶς γὰρ αὐτοῦ τοῦ ὀνόματος φησὶν „ὃς — βασίλευε“.* Cf. Plut. Thes. 16.

124.

*Εὐρυγύης δ' ἔτι κοῦρος Ἀθηνάων ἱεράων.*

Hesych. v. *ἐπ' Εὐρυγύῃ ἀγών. Μελησαγόρας τὸν Ἀνδρόγεων Εὐρυγύην εἰρῆσθαί φησι τὸν Μίνωος, ἐφ' ᾧ τὸν ἀγῶνα τίθεσθαι ἐπιτάφιον Ἀθήνησιν ἐν τῷ Κεραμεικῷ. καὶ Ἡσίοδος „Εὐρυγύης — ἱεράων“.*

125.

*Δεινὸς γάρ μιν ἔτειρεν ἔρος Πανοπηΐδος Αἴγλης.*

Plut. Thes. 20: *πολλοὶ δὲ λόγοι καὶ περὶ τούτων ἔτι λέγονται καὶ περὶ τῆς Ἀριάδνης ...... ἀπολειφθῆναι δὲ τοῦ Θησέως ἐρῶντος ἑτέρας· „δεινὸς — Αἴγλης“. τοῦτο γὰρ τὸ ἔπος ἐκ τῶν Ἡσιόδου Πεισίστρατον ἐξελεῖν φησιν Ἡρέας ὁ Μεγαρεύς.* Cf. Athen. XIII p. 557 A: *Ἡσίοδος δέ φησι καὶ Ἵππην καὶ Αἴγλην* (sc. *τὸν Θησέα νομίμως γῆμαι*), *δι' ἣν καὶ τοὺς πρὸς Ἀριάδνην ὅρκους παρέβη, ὥς φησι Κέρκωψ.*

---

Fragm. CXXIII. Primum indicav. Baiter et Winckelm. in ed. Turic. 1. *Μίνως — ἦν* scripsi pro *ὃς βασιλ. γένετο* (cf. Pseudo-Plat.: *μνησθεὶς γὰρ αὐτοῦ τοῦ ὀνόματος*); *ὃς βασιλ. ἔσκε καταθνητῶν* Schneidew. — 3. *πόλεων* Goettl., male.

Fragm. CXXIV. *Ἀθηνάων* Herm. pro *Ἀθηναίων.*

Fragm. CXXV. *ἔρως* vulgo; corr. Baumeister ad Hom. Hymn. in Mercur. 449 p. 235.

126.

Harpocr. v. *Μελίτη*: *δῆμός ἐστι τῆς Κεκροπίδος· κεκλῆσθαι δέ φησι τὸν δῆμον Φιλόχορος ἐν γ´ ἀπὸ Μελίτης θυγατρὸς κατὰ μὲν Ἡσίοδον Μύρμηκος, κατὰ δὲ Μουσαῖον Δίου τοῦ Ἀπόλλωνος.* Eadem fere narrat Suid. [II, 1 p. 769 Bernh.]; cf. Phot. v.

127.

Strab. IX p. 393 sq.: *Κυχρείδης ὄφις, ὅν φησιν Ἡσίοδος τραφέντα ὑπὸ Κυχρέως ἐξελαθῆναι ὑπὸ Εὐρυλόχου λυμαινόμενον τὴν νῆσον, ὑποδέξασθαι δὲ αὐτὸν τὴν Δήμητρα εἰς Ἐλευσῖνα καὶ γενέσθαι ταύτης ἀμφίπολον. ὠνομάσθη δὲ καὶ Πιτυοῦσσα ἀπὸ τοῦ φυτοῦ.* Cf. Steph. Byz. v. *Κυχρεῖος πάγος.*

128.

Argum. Scut. p. 108 ed. Goettl. (ed. alt.): *Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῷ γ´ φησὶν αὐτοῦ εἶναι, ἔκ τε τοῦ χαρακτῆρος καὶ ἐκ τοῦ τὸν Ἰόλαον ἐν τῷ καταλόγῳ εὑρίσκειν ἡνιοχοῦντα τῷ Ἡρακλεῖ.*

129.

Schol. ad Pind. Ol. VII, 42 *Ἀστυδαμείας*] *Ὅμηρος ταύτην Ἀστυόχην φησίν, οὐκ Ἀστυδάμειαν* ....... *καὶ Ἡσίοδος δὲ Ἀστυδάμειαν αὐτήν φησι.*

130.

*Ἡ δ´ ὑποκυσαμένη καλλίζωνος Στρατονίκη*
*Εὔρυτον ἐν μεγάροισιν ἐγείνατο φίλτατον υἱόν.*

*τοῦ δ' υἱεῖς ἐγένοντο Δηίων τε Κλυτίος τε,*
*Τοξεύς τ' ἀντίθεος, ἠδ' Ἴφιτος ὄζος Ἄρηος·*
*τοὺς δὲ μέθ' ὁπλοτάτην τέκετο ξανθὴν Ἰόλειαν*
*Ἀντιόχη κρείουσα Πύλωνος Ναυβολίδαο.*

Schol. Laur. ad Soph. Trach. 266: *διαφωνεῖται δὲ ὁ τῶν Εὐρυτιδῶν ἀριθμός. Ἡσίοδος μὲν γὰρ δ̄ φησὶν ἐξ Εὐρύτου καὶ Ἀντιόχης*[1]) *παῖδας, οὕτως „ἣ δ' — Ναυβολίδαο“.*

## 131.

*Ὅττι κε χερσὶ λάβεσκεν, ἀείδελα πάντα τίθεσκεν.*

Tzetz. ad Lycophr. 344: *Οὗτος ὁ Αὐτόλυκος κλεπτοσύνῃ πάντας ὑπερέβαλε· κλέπτων γὰρ πάντων ἵππους τε καὶ βόας καὶ ποίμνια, τὰς σφραγῖδας αὐτῶν μετεποίει καὶ ἐλάνθανε τοὺς δεσπότας αὐτῶν, ὥς φησι καὶ Ἡσίοδος· „πάντα γὰρ ὅσσα λάβ. — τίθεσκε“.* Etym. M. p. 21, 25 v. *ἀείδελον· ἐπὶ δὲ τοῦ ἀοράτου ἐχρήσατο τῇ λέξει Ἡσίοδος περὶ τοῦ Αὐτολύκου. φησὶ γάρ „ὅττι — τίθεσκεν“. καὶ γὰρ ὁ αὐτός, κλέπτης ὤν, ἔκλεπτε τοὺς ἵππους καὶ ἀλλοιοφανεῖς αὐτὸς ἀπ-*

---

Fragm. CXXX. 3. *Δηίων*] *Μολίων* Herm. coll. Diod. IV. 37. — *Κλυτίος τε* pro *Κλύτιός τε* Marcksch. — 6. *Ἀντιόπη* Brunck. — *κρ. παλαιὸν γένος Ναυβ.* cod. Laur. „Hoc apertum videtur, verba *παλαιὸν γένος* esse grammatici interpretantis explicationem verbo *Ναυβολίδαο* et ei, quod ante hoc excidit, adscriptam, quod glossema deinde in textum illatum verum nomen expulit“. Marcksch. — *κρείουσα Πύλωνος Ναυβολίδαο* (ex Hygin. fab. 14) Bentl. Ep. ad Mill. p. 503 Lips.; *κρείουσα* . . . . . . . . (excidit patris nomen) . . . . . . . . *παλαιοῦ N.* Herm. ad Soph. loc.

1) *Ἀντιόπης* Brunck.

Fragm. CXXXI. Veram lectionem Etym. conservasse indicat Ruhnken ep. cr. I p. 115, quem secutus sum. — *αἴδηλα* libri Tzetz. Eudoc. *ἀήδελα* Etym. Par. ap. Cram.

ετέλει· ἐνήλλασσε δὲ τὰς χροιὰς αὐτῶν. Cf. Etym. Par. ap. Cram. An. Par. IV p. 95. Eudoc. p. 375, 34. 394, 3. — Formam ἀείδελον ex Hesiodo affert Zonar. p. 52 Tittm.

132.

*Θεσσάμενος γενεὴν Κλεοδαίου κυδαλίμοιο.*

Schol. Laur. ad Apoll. Rhod. I, 824: θέσσασθαι γὰρ τὸ αἰτῆσαι καὶ ἱκετεῦσαι. καὶ Ἡσίοδος „θεσσάμενος — κυδαλίμοιο“.

133.

*Αἴπυτος αὖ τέκετο Τλησήνορα Πειρίθοόν τε.*

Apollon. Lex. Homer. v. Αἰπύτιον (p. 13, 12 Bekk.): τὸν τοῦ Αἰπύτου ....... ἔστι δὲ οὗτος τῶν Ἀρκαδικῶν ἡρώων, περὶ οὗ φησιν Ἡσίοδος „Αἴπυτος — Πειρίθοόν τε“.

134.

Etym. M. p. 215, 37: Βροτός, ὡς μὲν Εὐήμερος ὁ Μεσήνιος, ἀπὸ Βρότου τινὸς αὐτόχθονος· ὁ δὲ Ἡσίοδος, ἀπὸ Βροτοῦ τοῦ Αἰθέρος καὶ Ἡμέρας.

135.

*Χαρίτων ἀμαρύγματ' ἔχουσα.*

Etym. M. v. ἀμαρύσσω (p. 77, 29 sqq.) ...... καὶ ἀμάρυγμα καὶ ἀμαρυγάς· σημαίνει τὰς τῶν ὀφθαλμῶν ἐκλάμψεις· „χαρίτων — ἔχουσα“, Ἡσίοδος.

---

Fragm. CXXXII. Κλεαδαίου Cod. Laur.; corr. Lehmann. Hoc fragmentum ad Aegimium pertinere censet Buttmann.

Fragm. CXXXIII. αὖτ' — Γλησήνορα cod. Apollonii (?).

136.

Ἤτοι γὰρ Λοκρὸς Λελέγων ἡγήσατο λαῶν,
τούς ῥά ποτε Κρονίδης Ζεὺς ἄφθιτα μήδεα εἰδὼς
λεκτοὺς ἐκ γαίης ἀλέας πόρε Δευκαλίωνι.

Strab. VII p. 322: μάλιστα δ' ἄν τις Ἡσιόδῳ πιστεύσειεν οὕτως περὶ αὐτῶν εἰπόντι „ἤτοι — Δευκαλίωνι". τῇ γὰρ ἐτυμολογίᾳ τὸ συλλέκτους γεγονέναι τινὰς ἐκ παλαιοῦ καὶ μιγάδας αἰνίττεσθαί μοι δοκεῖ καὶ διὰ τοῦτο ἐκλελοιπέναι τὸ γένος. V. 2. 3 corruptelis scatentes affert Etym. Gud. p. 362, 21 sq.; v. 3 respicit Gramm. in Cram. An. Oxon. I p. 264 (v. not.).

137.

Ἰλέα, τὸν ῥ' ἐφίλησεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων
καὶ οἱ τοῦτ' ὀνόμηνʼ ὄνομ' ἔμμεναι, οὕνεκα νύμφην
εὑράμενος ἵλεων, μίχθη ἐρατῇ φιλότητι,
ἤματι τῷ, ὅτε τεῖχος ἐυδμήτοιο πόληος
ὑψηλὸν ποίησε Ποσειδάων καὶ Ἀπόλλων.

Etym. Gud. p. 276, 41 sqq.: Ἰλεύς, ὁ Αἴαντος πατήρ.

---

Fragm. CXXXVI. 3. „Ad pleniorem Theogoniae formam referre videtur Isler. Quaest. Hes. p. 38". Marcksch. ἀλέας, quod in textum recepimus, propos. Villebrun Coraes Boiss.; tuetur Schneidew. exercitt. critt. p. 25 coll. Cram. An. Oxon. I p. 264 de vocis λαός radice disserens: ἄλλοι δὲ παρὰ τοὺς λᾶας ὠνομάσθαι· „λαοὶ Δευκαλίωνος ὅσοι γενόμεσθα". Καλλίμαχος. Ἡσίοδος δὲ παρὰ τὸ ἀλές, τὸ σημαῖνον τὸ ἀθροῦν, ἀλαὸς λαός· ἀφαιρέσει τοῦ α. Hac in re auctoritatem Etym. Gudiani nihili esse ostendit Schneidewin. — λᾶας Heyne ad Apollod. Vol. II p. 39, Goettl. p. 396; λαοὺς Salmas.; ἀλίους Voelcker. — Δευκαλίωνι] Vulgo Δευκαλίωνος; emend. Salmas. e Gemistii Plethonis epitome.

Fragm. CXXXVII. 1. ἐφίλησε Leutsch. propter digamma. — 3. εὑρόμενος Fischer ad Weller Gr. III, 1. Lehm. Marcksch.

ἐτυμολογεῖται ὑφ' Ἡσιόδου [τὸ,] „Ἰλέα — καὶ Ἀπόλλων". Hos versus ex Etymol. ms. Par. primum ed. Ruhnken ep. crit. p. 108; leguntur praeterea ap. Tzetz. Schol. ad. Exeg. in Il. p. 126 sq. (ἐν τῇ ἡρωικῇ γενεαλογίᾳ) Cram. Anecd. Oxon. II, 451; v. 1—3 laudat Etym. M. p. *470, 139 Gaisf. verba οὕνεκα — φιλότητι (v. 2—3) affert Eustath. ad Il. p. 650, 43 Rom. 513 Bas.; v. 4 sq. Tzetz. ad Lycophr. 393 (ἐν τῇ ἡρωικῇ γενεαλογίᾳ); respicit Aristid. I p. 240 Iebb. 390 Dind. — De forma Ἰλεύς disputant Schol. Ven. A ad Il. *Α*, 264. *Β*, 527. *Ν*, 203. Vict. ad *Ο*, 333. Eustath. ad Il. p. 101, 19 Rom. 76 Bas. p. 277, 2 Rom. 209 Bas. 1018, 58 sq. Rom. 1023 Bas. cf. p. 927 extr. Rom. 897 Bas. Schol. ad Pind. Ol. IX, 167. Tzetz. Exeg. in Il. p. 4: Ποσειδώνιος ὁ Ἀπολλωνιάτης ὁ τῷ Ἡσιόδῳ μέμψιν ἐπάγων, ὡς παραφθείραντι τινὰς τῶν Ὁμήρου λέξεων, τὸν Ὀϊλέα Ἰλέα εἰπόντι.

## 138.

Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέεν, οὐδὲ κατέκλα,
ἀλλ' ἐπὶ πυραμίνων ἀθέρων δρομάασκε πόδεσσι,
. . . . . . . . . . . . . . . καὶ οὐ σινέσκετο καρπόν.

Eustath. ad Il. p. 323, 41 Rom. 245 Bas.: Εἷς τῶν Αἰολιδῶν, Φύλακος, κτίσας πόλιν Φυλάκην ὠνόμασεν, οὗ Ἴφικλος, οὗ Φύλακος, οὗ Ποίας καὶ Ἴφικλος, ὧν Ποίαντος μὲν καὶ Μεθώνης Φιλοκτήτης, Ἰφίκλου δὲ καὶ Ἀστυόχης Πρωτεσίλαος καὶ Ποδάρκης. ἐνταῦθα δὲ ζητητέον, ποῖος ἦν ὁ ποδωκέστατος κατὰ τὴν ἱστο-

---

Fragm. CXXXVIII. 1. καρπῶν Eust.; corr. Ruhnk. ex Il. — 2. ὅς ῥ' ἐπὶ πυραμίνους ἀθέρας φοίτασκε πόδ. Schol. ad Il.

ρίαν Ἴφικλος, περὶ οὗ δηλῶν Ἡσίοδος, ὅτι ταχυτῆτι διήνεγκεν, οὐκ ὤκνησεν ἐπ' αὐτοῦ ταύτην εἰπεῖν τὴν ὑπερβολήν „ἄκρον — καρπόν". V. 2 affert Schol. Ven. *B* ad Il. *Υ*, 227. Cf. Schol. Harl. Ambr. etc. ad Od. *λ*, 326: *Κλυμένη Μινύου τοῦ Ποσειδῶνος καὶ Εὐρυανάσσης τῆς Ὑπέρφαντος γαμηθεῖσα Φυλάκῳ τῷ Δηίονος Ἴφικλον τίκτει ποδώκη παῖδα. τοῦτον λέγεται διὰ τὴν τῶν ποδῶν ἀρετὴν συναμιλλᾶσθαι τοῖς ἀνέμοις ἐπί τε τῶν ἀσταχύων διέρχεσθαι, καὶ διὰ τοῦ τάχους*[1]) *τὴν κουφότητα μὴ περικλᾶν τοὺς ἀθέρας.*[2]) . . . . . . *ἡ δὲ ἱστορία παρ' Ἡσιόδῳ.* Cf. Eustath. ad loc. p. 1688, sq. Rom. 440 Bas. ad. Il. p. 1206, 7 sq. 1281 Bas. Schol. ad Apoll. Rhod. I, 45. — Verba *ἄκρον — θέεν* laudat Etym. M. p. 109, 3.

139.

*Ἡ δὲ Θόαν τέκεν υἱόν.*

Choerobosc. in Bekk. Anecd. p. 1183 [I p. 95 Gaisf.] *Καὶ λέγουσιν οἱ ποιηταὶ πολλάκις ὁ Αἴας τοῦ Αἴα, καὶ ο Δρύας τοῦ Δρύα καὶ ὁ Θόας τοῦ Θόα, ὡς παρ' Ἡσιόδῳ* „ἣ — υἱόν". [Cod. Marc. 489 fol. 123 rect.]

140.

Schol. Harl. et Ambr. ad Hom. Od. *ι*, 198: *ἡ δ' ἀπόστασις πρὸς Ἡσίοδον λέγοντα τὸν Μάρωνα εἶναι Οἰνοπίωνος τοῦ Διονύσου.* Contra Eustath. ad loc. p. 1623, 44 sqq. Rom. 347 Bas. *Τὸν δὲ Μάρωνα,*

1) Fort. *πάτον* (*πάθους* cod. Ambr.). 2) In codd. sequitur: *ἔνιοι δὲ αὐτὴν τὴν Κλυμένην προγαμηθῆναί φασιν Ἡλίῳ, ἐξ ἧς Φαέθων ἐγένετο παῖς. ἡ δὲ ἱστορία κτλ.* Hanc de Phaethonte narrationem, quam Hesiodo auctore usus repetivit Eustath. ad loc. p. 1689 Rom., errore poetae nostro adscribi ostendit Marckscheff. p. 357.

οὗ καὶ δοκεῖ παρώνυμος εἶναι ἡ κατὰ Θρᾴκην Μαρώνεια, καὶ ἱερῷ ἐτίμησαν οἱ ἐγχώριοι. οὗ τὸν πατέρα Εὐάνθην Ἡσίοδος Οἰνοπίωνος ἱερέα[1]) ἱστορεῖ υἱοῦ Διονύσου.

141.

Schol. ad Theocr. XVI, 49: Κύκνον λέγει τὸν Ποσειδῶνος καὶ Καλύκης ....... Ἡσίοδος δέ φησιν αὐτὸν τὴν κεφαλὴν ἔχειν λευκήν· διὸ καὶ ταύτης τῆς κλήσεως (sc. θῆλυς) ἔτυχεν.

---

## EOEARUM FRAGMENTA.

142.

Ἢ οἵη Διδύμους ἱεροὺς ναίουσα κολωνοὺς
Δωτίῳ ἐν πεδίῳ, πολυβότρυος ἄντ' Ἀμύροιο,
νίψατο Βοιβιάδος λίμνης πόδα παρθένος ἀδμής.

Strab. IX p. 442: Τοῦτο (sc. τὸ Δώτιον πεδίον) δ' ἐστὶ πλησίον τῆς ἄρτι λεχθείσης Περραιβίας καὶ τῆς Ὄσσης καὶ ἔτι τῆς Βοιβηίδος λίμνης, ἐν μέσῃ μὲν πως τῇ Θετταλίᾳ λόφοις δὲ ἰδίοις περικλειόμενον, περὶ οὗ Ἡσίοδος οὕτως εἴρηκεν „ἢ — ἀδμής“. Eosdem versus laudat geographus XIV p. 647; v. 2 affert Steph. Byz. v. Ἄμυρος. — Virginem intactam Coronidem esse docemur Schol. ad Pind. Pyth. III, 59: ἐπειδὴ ἡ παρθένος Κορωνὶς ᾤκει παρὰ ταῖς ὄχθαις τῆς Βοιβιάδος λίμνης· ἡ δὲ Βοιβιὰς λίμνη παρακειμένη τῇ Λακερείᾳ. ὅτι δὲ ἡ Κορωνὶς ἐν Λακερείᾳ ᾤκει πρὸς

---

1) ἱερέα Marcksch.; φασιν ἱερὸν vulgo.

Fragm. CXLII. 2. Legebatur ἀντ'; corr. Marcksch. — 3. πόδα] χρόα Koechly coni. ep. I p. 12.

ταῖς πηγαῖς τοῦ Ἀμύρου, Φερεκύδης ἐν πρώτῃ ἱστορεῖ κτλ. Cf. fragm. 103.

143.

Τῷ μὲν ἄρ' ἄγγελος ἦλθε κόραξ ἱερῆς ἀπὸ δαιτὸς
Πυθὼ ἐς ἠγαθέην, καί ῥ' ἔφρασε ἔργ' ἀίδηλα
Φοίβῳ ἀκερσεκόμῃ, ὅτ' ἄρ' Ἴσχυς ἔγημε Κόρωνιν
Εἰλατίδης, Φλεγύαο διογνήτοιο θύγατρα.

Schol. ad Pind. Pyth. III, 48: ἱστορεῖται γάρ, ὅτι τὴν Ἴσχυος μῖξιν ἐδήλωσεν αὐτῷ (Apollini) ὁ κόραξ· παρὸ καὶ δυσχεράναντα ἐπὶ τῇ ἀγγελίᾳ τὸν Ἀπόλλωνα ἀντὶ λευκοῦ μέλανα αὐτὸν ποιῆσαι ...... τὸν δὲ περὶ τὸν κόρακα μῦθόν φησι καὶ Ἡσίοδον μνημονεύοντα λέγειν οὕτω „τῷ — θύγατρα". Eosdem versus (v. 1—2 contractis) affert Schol. ad v. 14. Cf. ad v. 46.

144.

Ἢ οἵη Φθίῃ Χαρίτων ἄπο κάλλος ἔχουσα
Πηνειοῦ παρ' ὕδωρ καλὴ ναίεσκε Κυρήνη.

Schol. ad Pind. Pyth. IX, 6: ἀπὸ δὲ Ἠοίας Ἡσιόδου τὴν ἱστορίαν ἔλαβεν ὁ Πίνδαρος, ἧς ἡ ἀρχή· „ἢ — Κυρήνη".

145.

Serv. ad Verg. Georg. I, 14: Aristaeum invocat i. e. Apollinis et Cyrenes filium, quem Hesiodus dicit Apollinem pastoralem. Cf. Schol. Bern. p. 845 Hagen. — Apoll. Rhod. II, 506 sq. de Cyrene: ἔνθα δ' Ἀρισταῖον Φοίβῳ

---

Fragm. CXLIII. 3. ὅτ' ἄρ'] Sic Schol. ad v. 14; ὅτ' vel ὅττ' ad v. 48. — γῆμε Schol. ad v. 48. — Κόρωνιν] Legebatur Κορωνίν, quod iure improbant Marcksch. Goettl.; cf. Choerobosc. in Bekk. Anecd. Grr. p. 1207.

Fragm. CXLIV. 1. ἡοίη φθίη codd.; corr. Ruhnk.

τέκεν, ὃν καλέουσιν | Ἀγρέα καὶ Νόμιον πολυλήιοι Αἱμονιῆες. Schol. ad v. 498. p. 417, 12 Keil. Philodem. περὶ εὐσ. p. 11 extr. Gomp.

146.

Ἢ οἵη Ὑρίῃ πυκινόφρων Μηκιονίκη,
ἣ τέκεν Εὔφημον γαιηόχῳ Ἐννοσιγαίῳ
μιχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης.

Schol. ad Pind. Pyth. IV, 35: ὁ δὲ Ἀσκληπιάδης τὰ ἐν ταῖς μεγάλαις Ἠοίαις παρατίθεται „ἢ οἵη — Ἀφροδίτης".

147.

Ἢ οἵην Ὑρίη Βοιωτίη ἔτρεφε κούρην.

Schol. Ven. A ad Hom. Il. *B*, 496 οἵ θ' Ὑρίην] οὐ παρέλαβον σύνδεσμον τὸν τέ, ἀλλ' ὄντως παρέλαβον Θυρίαν τὴν πόλιν, οὐκ εὖ δέ· ἀπὸ γὰρ Ὑριέως καὶ ἡ Ὑρία οὕτως ὀφείλει ἔχειν τὸν τοῦ ῡ φθόγγον. μαρτυρεῖ καὶ Ἡσίοδος λέγων „ἢ — κούρην". Unde hausit Eustath. ad loc. p. 265, 4 sq. 200 Bas. Locus ad Antiopam, Nyctei filiam, spectat: cf. Steph. Byz. v. Ὑρία· Ἡσίοδος δ' ἐν Ὑρίᾳ τὴν Ἀντιόπην φησὶ γενέσθαι.

148.

Φύλας δ' ὤπυιεν κούρην κλειτοῦ Ἰολάου
Λειπεφίλην· ἣν δ' εἶδος Ὀλυμπιάδεσσιν ὁμοίη,

---

Fragm. CXLVI. 1. ἠοίη ὑρίη codd. (falsa tradere videtur Boeckh. in not.); corr. Ruhnk. — 2. γαιηόχῳ Boeckh. e cod. Gott. pro γαιαόχῳ.

Fragm. CXLVII. Veram scripturam iamdudum ab O. Muell. indicatam ex codd. reposuit Dind.; ἢ δίη ὑρίη βοιωτίης τρέφε Ven. A. De virorum doctt. sententiis disp. Marcksch.

Fragm. CXLVIII. 2. Λειπεφίλην corruptum; λειπεφιλήνη· εἶδος Mosq.; λείπε φιλήνην εἶδος Par. 1399, λεῖπε φιληνὴ εἰ (cetera evanuerunt) Par. 1410. Λειποφίλην Heins. „Kuhnius

*Ἱππότην δέ οἱ υἱὸν ἐνὶ μεγάροισιν ἔτικτε*
*Θηρώ τ' εὐειδῆ, ἰκέλην φαέεσσι σελήνης.*
*Θηρὼ δ' Ἀπόλλωνος ἐν ἀγκοίνῃσι πεσοῦσα*
*γείνατο Χαίρωνος κρατερὸν μένος ἱπποδάμοιο.*

Paus. IX, 40, 5 sq. (3): *Λεβαδέων δὲ ἔχονται Χαιρωνεῖς· ἐκαλεῖτο δὲ ἡ πόλις καὶ τούτοις Ἄρνη τὸ ἀρχαῖον· θυγατέρα δὲ εἶναι λέγουσιν Αἰόλου τὴν Ἄρνην, ἀπὸ δὲ ταύτης κληθῆναι καὶ ἑτέραν ἐν Θεσσαλίᾳ πόλιν· τὸ δὲ νῦν τοῖς Χαιρωνεῦσιν ὄνομα γεγονέναι ἀπο Χαίρωνος, ὃν Ἀπόλλωνός φασιν εἶναι, μητέρα δὲ αὐτοῦ Θηρὼ τὴν Φύλαντος εἶναι. μαρτυρεῖ δὲ καὶ ὁ τὰ ἔπη τὰς μεγάλας Ἠοίας ποιήσας „Φύλας — ἱπποδάμοιο"*.

149.

*Ὕηττος δὲ Μόλουρον Ἀρίσβαντος φίλον υἱὸν*
*κτείνας ἐν μεγάροις εὐνῆς ἕνεχ' ἧς ἀλόχοιο,*
*οἶκον ἀποπρολιπὼν φεῦγ' Ἄργεος ἱπποβότοιο,*
*ἷξεν δ' Ὀρχομενὸν Μινύειον· καί μιν ὅ γ' ἥρως*
*δέξατο, καὶ κτεάνων μοῖραν πόρεν ὡς ἐπιεικές.*

Paus. IX, 36, 6 sq. (4): *παρὰ τοῦτον τὸν Ὀρχομενὸν βασιλεύοντα Ὕηττος ἀφίκετο ἐξ Ἄργους, φεύγων ἐπὶ*

---

ci. *Δηιφίλην*, illud *Λειπεφίλην* e nota librarii *λείπει* male intellecta promanasse arbitratus. Gaisf. — 3. *Ἱππότην*] Hoc nomen servavit Cod. Mosq. (praebet *Ἱππότη* omisso *ὁμοίη*); reposuit Facius. *Ἱππότεα* Boiss. *ἡ δέ οἱ Ἱπποτέ' υἱόν* Sylb. Kuhn. In *Ἱππότην* certe nihil inest offensionis. Ad Od. *κ* 36. 60 (*Αἰολου*) provocavit Herm. — 6. *Χείρωνος* Heins.

Fragm. CXLIX. 1. *Μόλουρον* Schubart; *Μόλυρον* vulgo. — 4. *Μινύειον*] Legebatur *Μινυήϊον*; corr. Siebelis. Totum versum sic refingit Koechly (coni. ep. I p. 13) *ἷξε δ' ἐς Ὀρχ. Μινυήιον· ὃς δέ μιν ἥρως* („Orchomenus hic regis, non urbis nomen est".)

τῷ Μολούρου φόνῳ τοῦ Ἀρίσβαντος, ὅντινα ἀπέκτεινεν ἐπὶ γυναικὶ ἑλὼν γαμετῇ· καὶ αὐτῷ τῆς χώρας ἀπένειμεν Ὀρχομενὸς ὅση νῦν περί τε Ὑηττόν ἐστι τὴν κώμην καὶ ἡ ταύτῃ προσεχής. Ὑήττου δὲ ἐποιήσατο μνήμην καὶ ὁ τὰ ἔπη συνθεὶς ἃς μεγάλας Ἠοίας καλοῦσιν Ἕλληνες· „Ὕηττος — ἐπιεικές“.

150.

Ἔστι τις Ἑλλοπίη πολυλήιος ἠδ' εὐλείμων,
ἀφνειὴ μήλοισι καὶ εἰλιπόδεσσι βόεσσιν.
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες, πολυβοῦται,
πολλοί, ἀπειρέσιοι, φῦλα θνητῶν ἀνθρώπων·
ἔνθα δὲ Δωδώνη τις ἐπ' ἐσχατιῇ πεπόλισται·
τὴν δὲ Ζεὺς ἐφίλησε καὶ ὃν χρηστήριον εἶναι,
τίμιον ἀνθρώποις· ........................
................ ναῖεν δ' ἐν πυθμένι φηγοῦ·
ἔνθεν ἐπιχθόνιοι μαντήια πάντα φέρονται,
ὃς δὴ κεῖθι μολὼν θεὸν ἄμβροτον ἐξερεείνῃ
δῶρα φέρων, ἔλθῃ δὲ σὺν οἰωνοῖς ἀγαθοῖσιν.

Schol. ad Soph. Trach. 1169 (1167): Ἔνιοι δὲ ..... Ἑλλοπίαν τὴν Δωδώνην νομίζουσιν εἶναι· τὴν γὰρ

---

Fragm. CL. 1. Ἑλλοπίη] Sic Schol. Soph. Strab.; Ἐλλοπίη Marcksch. al. — 5. ἔνθα δὲ Δωδ.] Sic Strabo; ἔνθα Δωδ. Schol. Soph. — 6. Z. ἐθέλησεν ἑὸν χρ. Ruhnken, sensu loci bene perspecto; sed verisimile est (quod primus vidit Herm.) versus 6—7 mutilos esse. Herm. Marcksch. Flach post v. 6 lacunam statuerunt, Lehrs post τίμιον. Nobis post ἀνθρ. nonnulla deesse videntur. ναῖεν (quod ad Iovem spectat) Valcken. (probantibus Ruhnk. et Mueller Arch. art. p. 33 ed. III „Die einfachsten Tempel der Vorzeit waren wohl hohle Bäume“), vulgo ναῖον. „De columbis Dodonaeis quominus intelligatur ναῖον, quod Herm. voluit, impedit ἐν πυθμένι φηγοῦ“. Goettl. — 8. ἐπιχθονίοις Ruhnk. — 10. ἔλθῃ σὺν Schol. Laur.; corr. Herm.

χώραν οὕτως Ἡσίοδος ὀνομάζει ἐν Ἠοίαις, λέγων οὕτως „ἔστι — ἀγαθοῖσιν“. V. 1. 5 laudat Strab. VII p. 328.

151.

Οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος.
ὅστις ἄδην πίνει, οἶνος δέ οἱ ἔπλετο μάργος,
σὺν δὲ πόδας χεῖράς τε δέει γλῶσσάν τε νόον τε
δεσμοῖς ἀφράστοισι· φιλεῖ δέ ἑ μαλθακὸς ὕπνος.

Athen. X p. 428 B—C: διὸ καὶ Ἡσίοδος ἐν ταῖς Ἠοίαις εἶπεν „οἷα — ὕπνος“. V. 1 = Scut. 400.

152. 153.

Ὦ τέκος, ἦ μάλα δή σε πονηρότατον καὶ ἄριστον
Ζεὺς τέκνωσε πατήρ.

---

Τέκνον ἐμόν, Μοῖραί σε πονηρότατον καὶ ἄριστον ....

Aspasius ad Aristot. Eth. Nic. III p. 43[1]): καὶ ὅτι πόνηρος ἐπὶ τοῦ ἐπιπόνου τάττεται καὶ δυστυχοῦς, ἱκανὸς Ἡσίοδος παραστῆσαι ἐν ταῖς μεγάλαις Ἠοίαις τὴν Ἀλκμήνην ποιῶν πρὸς τὸν Ἡρακλέα λέγουσαν „ὦ — πατήρ“. καὶ πάλιν „τέκνον — ἄριστον“.

154.

Paus. IV, 2, 1: Πυθέσθαι δὲ σπουδῇ πάνυ ἐθελήσας οἵ τινες παῖδες Πολυκάονι ἐγένοντο ἐκ Μεσσήνης, ἐπελεξάμην τάς τε Ἠοίας καλουμένας καὶ τὰ ἔπη τὰ Ναυπάκτια, πρὸς δὲ αὐτοῖς ὁπόσα Κιναίθων καὶ

---

Fragm. CLI. 1. Libri ἔχθος; corr. Ruhnken ex Scuto.
Fragm. CLII. 1. 2. τέκος — τέκνωσε Voss. pro τέκνον — ἐτέκνωσε.

1) Locum inspicere non licuit.

Ἄσιος ἐγενεαλόγησαν. οὐ μὴν ἔς γε ταῦτα ἦν σφίσιν οὐδὲν πεποιημένον, ἀλλὰ Ὕλλου μὲν τοῦ Ἡρακλέους θυγατρὶ Εὐαίχμῃ συνοικῆσαι Πολυκάονα υἱὸν Βούτου λεγούσας τὰς μεγάλας οἶδα Ἠοίας, τὰ δὲ ἐς τὸν Μεσσήνης ἄνδρα καὶ τὰ ἐς αὐτὴν Μεσσήνην παρεῖταί σφισι.

155.

Paus. II, 26, 3 (2): Ἐπίδαυρος δὲ ἀφ' οὗ τὸ ὄνομα τῇ γῇ ἐτέθη, ὡς μέν φασιν Ἠλεῖοι, Πέλοπος ἦν· κατὰ δὲ Ἀργείων δόξαν καὶ τὰ ἔπη τὰς μεγάλας Ἠοίας ἦν Ἐπιδαύρῳ πατὴρ Ἄργος ὁ Διός.

156.

Pausan. II, 16, 4 (3): Ταύτην (Μυκήνην) εἶναι θυγατέρα Ἰνάχου γυναῖκα δὲ Ἀρέστορος τὰ ἔπη λέγει ἃ δὴ Ἕλληνες καλοῦσιν Ἠοίας μεγάλας· ἀπὸ ταύτης οὖν γεγονέναι καὶ τὸ ὄνομα τῇ πόλει φασίν.

157.

Pausan. II, 2, 3: Κορινθίοις δὲ τοῖς ἐπινείοις τὰ ὀνόματα Λέχης καὶ Κεγχρίας ἔδοσαν, Ποσειδῶνος εἶναι καὶ Πειρήνης τῆς Ἀχελῴου λεγόμενοι· πεποίηται δὲ ἐν Ἠοίαις μεγάλαις Οἰβάλου θυγατέρα εἶναι Πειρήνην.

158.

Paus. VI, 21, 10 sq. (7): Ἀπέθανον δὲ ὑπὸ τοῦ Οἰνομάου κατὰ τὰ ἔπη τὰς μεγάλας Ἠοίας Ἀλκάθους ὁ Πορθάονος, δεύτερος οὗτος ἐπὶ τῷ Μάρμακι, μετὰ δὲ Ἀλκάθουν Εὐρύαλος καὶ Εὐρύμαχός τε καὶ Κρόταλος. τούτων μὲν οὖν γονέας τε καὶ πατρίδας οὐχ οἷά τε ἦν

*πυθέσθαι μοι· τὸν δὲ ἀποθανόντα ἐπ' αὐτοῖς Ἀκρίαν τεκμαίροιτο ἄν τις Λακεδαιμόνιόν τε εἶναι καὶ οἰκιστὴν Ἀκριῶν. ἐπὶ δὲ τῷ Ἀκρίᾳ Κάπετόν φασιν ὑπὸ τοῦ Οἰνομάου φονευθῆναι καὶ Λυκοῦργον Λάσιόν τε καὶ Χαλκώδοντα καὶ Τρικόλωνον ...... Τρικολώνου δὲ ὕστερον ἐπέλαβεν ἐν τῷ δρόμῳ τὸ χρεὼν Ἀριστόμαχόν τε καὶ Πρίαντα, ἔτι δὲ Πελάγοντα καὶ Αἰόλιόν τε καὶ Κρόνιον.* Cf. Schol. ad Pind. Ol. I, 127: *Οἱ ἀναιρεθέντες οὗτοί εἰσι· Μέρμνης, Ἱππόθοος, Πέλοψ ὁ Ὀπούντιος, Ἀκαρνάν, Εὐρύμαχος, Εὐρύλοχος, Αὐτομέδων, Λάσιος, Χάλκων, Τρικόρωνος, Ἀλκάθους ὁ Παρθάονος*[1]), *Ἀριστόμαχος, Κρόκαλος· τούτῳ τῷ ἀριθμῷ τῶν ἀπολωλότων μνηστήρων καὶ Ἡσίοδος καὶ Ἐπιμενίδης συμμαρτυρεῖ.*[2]) Eudoc. p. 314, 9 sqq.

159.

Paus. X, 31, 3 (2): *Ἐς δὲ τοῦ Μελεάγρου τὴν τελευτὴν Ὁμήρῳ μέν ἐστιν εἰρημένα ὡς ἡ Ἐρινὺς καταρῶν ἀκούσαι τῶν Ἀλθαίας καὶ ἀποθάνοι κατὰ ταύτην ὁ Μελέαγρος τὴν αἰτίαν· αἱ δὲ Ἠοῖαί τε καλούμεναι καὶ ἡ Μινυὰς ὡμολογήκασιν ἀλλήλαις· Ἀπόλλωνα γὰρ δὴ αὗταί φασιν αἱ ποιήσεις ἀμῦναι Κούρησιν ἐπὶ τοὺς Αἰτωλούς, καὶ ἀποθανεῖν Μελέαγρον ὑπὸ Ἀπόλλωνος.*

160.

Schol. Laur. ad Apoll. Rhod. IV, 57 (p. 486, 30 Keil.): *Ἐν δὲ ταῖς μεγάλαις Ἠοίαις λέγεται τὸν Ἐν-*

1) *Πορθάονος* Eudoc. 2) Haec „e Pausania corrigenda censet Wesseling. ad Diod. IV. 73". Marcksch.

*δυμίωνα ἀνενεχθῆναι ὑπὸ τοῦ Διὸς εἰς οὐρανόν· ἐρασθέντα δὲ Ἥρας εἰδώλῳ παραλογισθῆναι [τὸν ἔρωτα] νεφέλης καὶ ἐκβληθέντα κατελθεῖν εἰς Ἅιδου.*[1]) Quae ex hoc Scholio hausta apud Eudociam p. 148, 9 sqq. leguntur, vitiis laborant.

161.

Ibid. I, 118: *Ἐν δὲ ταῖς μεγάλαις Ἠοίαις λέγεται ὡς ἄρα Μελάμπους φίλτατος ὢν τῷ Ἀπόλλωνι ἀποδημήσας κατέλυσε παρὰ Πολυφάντῃ*[2]). *βοὸς δὲ αὐτῷ τεθυμένου δράκοντος ἀνερπύσαντος παρὰ τὸ θῦμα, διαφθεῖραι αὐτὸν τοὺς θεράποντας τοῦ βασιλέως·*[3]) *τοῦ δὲ βασιλέως χαλεπήναντος* ........... *τὸν Μελάμποδα λαβεῖν καὶ θάψαι*[4]). *τὰ δὲ τούτου ἔγγονα τραφέντα ὑπὸ τούτου λείχειν τὰ ὦτα καὶ ἐμπνεῦσαι αὐτῷ τὴν μαντικήν· διόπερ κλέπτοντα αὐτὸν τὰς βόας τοῦ Ἰφίκλου εἰς Αἴγιναν*[5]) *τὴν πόλιν περιληφθέντα δεθῆναι, καὶ τοῦ οἴκου μέλλοντος πεσεῖν, ἐν ᾧ ἦν ὁ Ἴφικλος, τῇ διακόνων πρεσβύτιδι μηνῦσαι τοῦ Ἰφίκλου, καὶ τούτου χάριν ἀφεθῆναι.*[6]) Cf. Schol. Par., cuius lectiones ubi operae pretium erat, in nota apposui, et Eudociam p. 286, 29 sqq.

162.

Ibid. II, 181: *Πεπηρῶσθαι δὲ Φινέα φησὶν Ἡσίοδος*

---

1) Sic Keil. — *εἰδώλῳ παραλ. τὸν ἔρ. νεφ.* Laur., *παραλ. εἰδ. νεφ. διὰ τὸν ἔρωτα* Par. 2) *Πολυφάτῃ* Par. 3) *διαφθεῖραι — βασιλέως*] *κατέφαγε τὸν τοῦ Πολυφάτου θεράποντα* Par. 4) Haec manifesto mutila sunt. Fort. *χαλεπ. καὶ τὸν δράκοντα ἀποκτείναντος, τὸν Μελ. λαβεῖν τὸ σῶμα καὶ θάψαι.* 5) „Fortasse *Ἐχῖνον*" Keil. 6) *καὶ — ἀφεθῆναι*] *καὶ Μελάμποδα αἰδεσθεὶς ἀπέλυσεν, ἐπιδοὺς αὐτῷ καὶ τὰς βοῦς, ἃς ἀφίκετο κλέψαι* Par.

ἐν μεγάλαις Ἠοίαις, ὅτι Φρίξῳ τὴν ὁδὸν[1]) ἐμήνυσεν. Quae exscripsit Eudoc. p. 415 sq. Cf. fr. 75.

163.

Ibid. II, 1122: Ἄργος] εἷς τῶν Φρίξου παίδων οὗτος. τούτους ........ Ἀκουσίλαος καὶ Ἡσίοδος ἐν ταῖς μεγάλαις Ἠοίαις φασὶν ἐξ Ἰοφώσσης τῆς Αἰήτου. καὶ οὗτος μέν φησιν αὐτοὺς τέσσαρας, Ἄργον, Φρόντιν, Μέλανα, Κυτίσωρον[2]).

164.

Ibid. IV, 828: ἐν δὲ ταῖς μεγάλαις Ἠοίαις Φόρβαντος καὶ Ἑκάτης ἡ Σκύλλα.

165.

Schol. ad Pind. Isthm. V (VI), 53 p. 547 Boeckh.: Οὐ γὰρ ὁ Τελαμὼν ἐκέλευσε τῷ Ἡρακλεῖ ἐμβῆναι τῷ δέρματι καὶ εὔξασθαι, ἀλλ' αὐτὸς ὁ Ἡρακλῆς τοῦτο κατ' ἰδίαν ἔπραξε προαίρεσιν. εἴληπται δὲ ἐκ τῶν μεγάλων Ἠοιῶν ἡ ἱστορία· ἐκεῖ γὰρ εὑρίσκεται ἐπιξενούμενος ὁ Ἡρακλῆς τῷ Τελαμῶνι καὶ ἐμβαίνων τῇ δορᾷ καὶ εὐχόμενος, καὶ ........[3]) ὁ διόπομπος αἰετός, ἀφ' οὗ τὴν προσωνυμίαν ἔλαβεν Αἴας.[4])

166.

Argum. Scuti p. 108 Goettl. (ed. alt.): Τῆς Ἀσπί-

---

1) τὴν εἰς Σκυθίαν ὁδὸν Par. 2) Κύτωρον Par. (cf. Strab. XII p. 544 extr., quem locum laudavit Marcksch.). 3) Locus mutilus. καὶ οὕτως ὁ vulgo, καὶ οὗτος ὁ (quamvis dubitanter) Boeckh. 4) „Pertinet hoc ad societatis inter Herculem et Telamonem factae initium, qua coniuncti Troiam expugnaverunt". Marcksch.

δος ἡ ἀρχὴ ἐν τῷ δ' καταλόγῳ φέρεται μέχρι στίχων ν' καὶ ϛ'[1]).

167.

Antonin. Liber. c. 23: Ἱστορεῖ Νίκανδρος Ἑτεροιουμένων α' καὶ Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις κτλ.

Ἄργου τοῦ Φρίξου καὶ Περιμήλης τῆς Ἀδμήτου θυγατρὸς ἐγένετο Μάγνης. οὗτος ᾤκησεν ἐγγὺς Θεσσαλίας, καὶ τὴν γῆν ταύτην ἀπὸ αὐτοῦ Μαγνησίαν προσηγόρευσαν οἱ ἄνθρωποι. ἐγένετο δ' αὐτῷ παῖς περίβλεπτος τὴν ὄψιν Ὑμέναιος. ἐπεὶ δὲ Ἀπόλλωνα ἰδόντα ἔρως ἔλαβε τοῦ παιδὸς καὶ οὐκ ἐξελίμπανε τὰ οἰκία τοῦ Μάγνητος, Ἑρμῆς ἐπιβουλεύει τῇ ἀγέλῃ τῶν βοῶν τοῦ Ἀπόλλωνος. αἱ δὲ ἐνέμοντο ἵνα περ ἦσαν αἱ Ἀδμήτου βόες· καὶ πρῶτα μὲν ἐμβάλλει ταῖς κυσίν, αἳ ἐφύλαττον αὐτάς, λήθαργον καὶ κυνάγχην. αἱ δὲ ἐξελάθοντο τῶν βοῶν καὶ τὴν φυλακὴν ἀπώλεσαν· εἶτα δ' ἀπελαύνει πόρτιας δώδεκα καὶ ἑκατὸν βοῦς ἄζυγας καὶ ταῦρον, ὃς ταῖς βουσὶν ἐπέβαινεν. ἐξῆπτε δὲ ἐκ τῆς οὐρᾶς πρὸς ἕκαστον ὕλην, ὡς ἂν τὰ ἴχνη τῶν βοῶν ἀφανίσῃ· καὶ ἦγεν αὐτὰς ἐλαύνων διά τε Πελασγῶν καὶ δι' Ἀχαίας τῆς Φθιώτιδος καὶ διὰ Λοκρίδος καὶ Βοιωτίας καὶ Μεγαρίδος καὶ ἐντεῦθεν εἰς Πελοπόννησον διὰ Κορίνθου καὶ Λαρίσσης ἄχρι Τεγέας. καὶ ἐντεῦθεν παρὰ τὸ Λύκαιον ὄρος ἐπορεύετο καὶ παρὰ τὸ Μαινάλιον καὶ τὰς λεγομένας Βάττου σκοπιάς. ᾤκει δὲ ὁ Βάττος οὗτος ἐπ' ἄκρῳ

1) Lectionem depravatam ν' καὶ σ' corr. Sam. Petitus Legg. Att. p. 462. Moneo Scuti vv. 42—45 ante v. 39 ponendos esse.

τῷ σκοπέλῳ, καὶ ἐπεὶ τῆς φωνῆς ἤκουσε παρελαυνομένων τῶν μόσχων, προελθὼν ἐκ τῶν οἰκίων ἔγνω περὶ τῶν βοῶν, ὅτι κλοπιμαίας ἄγει· καὶ μισθὸν ᾔτησεν, ἵνα πρὸς μηδένα φράσῃ περὶ αὐτῶν. Ἑρμῆς δὲ δώσειν ἐπὶ τούτοις ὑπέσχετο, καὶ ὁ Βάττος ὤμοσε περὶ τῶν βοῶν πρὸς μηδένα κατερεῖν. ἐπεὶ δὲ αὐτὰς Ἑρμῆς ἔκρυψεν ἐν τῷ πρηῶνι παρὰ τὸ Κορυφάσιον, εἰς τὸ σπήλαιον εἰσελάσας ἀντικρὺς Ἰταλίας καὶ Σικελίας, αὖθις ἀφίκετο πρὸς τὸν Βάττον ἀλλάξας ἑαυτὸν καὶ πειρώμενος, εἰ αὐτῷ συμμένειν ἐπὶ τοῖς ὁρκίοις ἐθέλει. διδοὺς δὲ μισθὸν χλαῖναν ἐπυνθάνετο παρ' αὐτοῦ, εἰ μὴ κλοπιμαίας βοῦς ἔγνω παρελαθείσας. ὁ δὲ Βάττος ἔλαβε τὴν χλαμύδα καὶ ἐμήνυσε περὶ τῶν βοῶν. Ἑρμῆς δὲ χαλεπήνας, ὅτι διχόμυθος ἦν, ἐρράπισεν αὐτὸν τῇ ῥάβδῳ καὶ μετέβαλεν εἰς πέτρον. καὶ αὐτὸν οὐκ ἐκλείπει κρύος οὐδὲ καῦμα· λέγεται δὲ καὶ ὁ τόπος παρ' ὁδευόντων ἄχρι νῦν σκοπιὰ Βάττου.

---

## CEYCIS NUPTIAE.

De carminis auctore Plut. moral. p. 730 F. Ὁ τὸν Κήυκος γάμον εἰς τὰ Ἡσιόδου παρεμβαλών. Contra Athen II p. 49 B: Ἡσίοδος ἐν Κήυκος γάμῳ (κἂν γὰρ γραμματικῶν παῖδες ἀποξενῶσι τοῦ ποιητοῦ τὰ ἔπη ταῦτα, ἀλλ' ἐμοὶ δοκεῖ ἀρχαῖα εἶναι) κτλ.

Ceycis nuptias partem fuisse Catalogi vel Eoearum verisimile est, cf. quos laudavit Marckscheff. p. 154. (Goettl. praefat. p. LXII.)

### 168.

Athen. II p. 49 C: Ὅτι Ἡσίοδος ἐν Κήυκος γάμῳ (κἂν γὰρ γραμματικῶν παῖδες ἀποξενῶσι τοῦ

ποιητοῦ τὰ ἔπη ταῦτα, ἀλλ' ἐμοὶ δοκεῖ ἀρχαῖα εἶναι) τρίποδας τὰς τραπέζας φησί coll. Poll. VI, 83: ἦσαν δέ τινες πρῶται τράπεζαι καὶ δεύτεραι καὶ τρίται καὶ τρίποδες μέν, ἐφ' ὧν ἔκειντο, καὶ ἔστι τοὔνομα παρ' Ἡσιόδῳ.

169.

Schol. Laur. ad Apoll. Rhod. I, 1289: Ἡρόδωρος δέ φησι μὴ συμπεπλευκέναι (sc. τοῖς Ἀργοναύταις) αὐτόν (Heraclem) τε καί τινας ἄλλους. Ἡσίοδος δὲ ἐν τῷ Κήυκος γάμῳ ἐκβάντα φησὶν αὐτὸν ἐφ' ὕδατος ζήτησιν τῆς Μαγνησίας περὶ τὰς ἀπὸ τῆς ἀφέσεως αὐτοῦ[1]) Ἀφετὰς καλουμένας ἀπολειφθῆναι. Unde ad Ceycis regiam heros pervenit, cf. Bacchyl. fr. 33 [ap. Athen. V p. 178 B (Vol. I p. 326 Mein.): Βακχυλίδης δὲ περὶ Ἡρακλέους λέγων ὡς ἦλθεν ἐπὶ τὸν τοῦ Κήυκος οἶκον φησίν] ἔστα δ' ἐπὶ λάινον οὐδόν, | τοὶ δὲ θοίνας ἔντυον, ὧδέ τ' ἔφα· | αὐτόματοι δ' ἀγαθῶν | δαῖτας εὐόχθους ἐπέρχονται δίκαιοι | φῶτες et Zenob. II, 19 (αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἵενται· οὕτως Βακχυλίδης) aliaque testimonia, quae congessit Arn. Hugii diligentia: de Graecorum proverbio αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν (Turic. 1872) p. 9 sqq.

170.

Ἰδὼν δ' ἱππηλάτα Κῆυξ.

Schol. Ven. A ad Il. Ξ, 119: ὁ δὲ ἱππότης ἄρα οὐ

---

1) αὐτοῦ] τῆς Ἀργοῦς Schol. Par.
Fragm. CLXX. Κῆυξ] Sic Bekk.; κῆρυξ cod.

φυγάς, ἀλλ' ἱππικός. καὶ ὁ Ἡσίοδος δὲ οὕτως ἀκήκοεν· „ἰδὼν — Κῆυξ“, ἀντὶ τοῦ ἱππικός.

171.

Plut. moral. p. 730 F: καθάπερ οὖν τὸ πῦρ την ὕλην ἐξ ἧς ἀνήφθη, μητέρα καὶ πατέρα οὖσαν, ἤσθιεν, ὡς ὁ τὸν Κήυκος γάμον εἰς τὰ Ἡσιόδου παρεμβαλὼν εἴρηκεν.

Gregor. Corinth. περὶ τρόπων in Walzii Rhett. Grr. VIII p. 776 sq.: αἴνιγμά ἐστι φράσις διάνοιαν ἀποκεκρυμμένην καὶ σύνθετον πειρωμένη ποιεῖν, ὡς παρ' Ἡσιόδῳ ..... οὐ μητέρα μητρὸς ἄγοντο | αὐαλέην [τε][1]) καὶ ὀπταλέην, ἐπεὶ δοκεῖ πρῶτα μὲν ξηραίνεσθαι, εἶτα ὀπτᾶσθαι· σφετέροισι[2]) τέκεσσι[3]), τοῖς ἑαυτοῦ τέκνοις, λέγει δὲ τοῖς ξένοις (?)[4]), τὸ δὲ τεθνάναι, καθὸ δοκεῖ ἐκ τῆς ὕλης εἰλῆφθαι[5]). Locum indicavit Bergk Philol. XXIX p. 319.

---

## CHIRONIS PRAECEPTA.

Pausan. IX, 31 § 5 (4): Ἔστι δὲ καὶ ἑτέρα (δόξα) κεχωρισμένη τῆς προτέρας, ὡς πολύν τινα ἐπῶν ὁ Ἡσίοδος ἀριθμὸν ποιήσειεν, ...... παραινέσεις τε Χείρωνος ἐπὶ διδασκαλίᾳ δὴ τῇ Ἀχιλλέως. Schol. ad Pind. Pyth. VI, 19: τὰς δὲ Χείρωνος ὑποθήκας Ἡσιόδῳ ἀνατιθέασιν. Auctores quibus fr. 173 debetur: τὰς Ἡσιόδου ὑποθήκας. Hephaestio p. 17 Gaisf.

---

1) τε addidi. 2) σφετέροισι scripsi, cf. Scut. 90; ἐφ' ἑτέροισι vulgo. 3) τέκεσσι scripsi, τέκεσι cod. Bar., τεκέεσσι reliqui. 4) ξύλοις editor Cantabrig. ap. Walz. 5) Bar. ἐκκεκόφθαι, unus Par. ἐκκόφθαι.

(18 sq. Lips.): *διὰ τοῦτο καὶ Κρατῖνος ἐν τοῖς Χείρωσι πεποίηκε „σκῆψιν μέν, Χείρωνες ἐλήλυμεν, ὡς ὑποθήκας“.*

Quintil. I, 1, 15: (Aristophanes grammaticus) primus *ὑποθήκας* ..... negavit esse huius poetae (sc. Hesiodi). Cf. Marckscheff. p. 175 sqq.

---

172.

*Εὖ νῦν μοι τάδ' ἕκαστα μετὰ φρεσὶ πευκαλίμῃσι*
*φράζεσθαι· πρῶτον μέν, ὅτ' εἰς δόμον εἰσαφίκηαι,*
*ἔρδειν ἱερὰ καλὰ θεοῖς αἰειγενέτῃσιν.*

Schol. ad Pind. Pyth. VI, 19: *τὰς δὲ Χείρωνος ὑποθήκας Ἡσιόδῳ ἀνατιθέασιν, ὧν ἡ ἀρχή· „εὖ — αἰειγενέτῃσιν“.*

173.

Gramm. in Bachm. Anecd. Gr. II p. 385: *ἀκεστὴς λέγουσιν οἱ παλαιοί, οὐκ ἠπητής, ἠπήσασθαι· ἔστι μὲν ἅπαξ παρ' Ἀριστοφάνει ἐν Δαιταλεῦσι „καὶ κόσκινον ἠπήσασθαι“. σὺ δὲ λέγε ἀκέσασθαι τὸ ἱμάτιον· παίζων γὰρ τὰς Ἡσιόδου ὑποθήκας Ἀριστοφάνης εἶπε τοῦτο.* Eadem tradit Phrynich. p. 91 Lob.[1])

---

Fragm. CLXXII. Locum corruptum ex cod. Gott. sanavit Boeckh. — 1. Legebatur *εὖ νῦ τοι ἕκαστα μεταλλᾷ ἀειγενέτῃσι* (sic Loesn. p. 444) vel *εὖ νύ τοι τάδ' ἕκ. μετάλλα θεοῖς ἀειγ.* — *τὰ ἕκαστα* Buttm. — *πευκαλίμῃσι*] Sic Boeckh. L. Dind.; *πευκαλίμοισιν* cod. Gott. — 2. *ὅτ' εἰς*] Sic Boeckh. Goettl. alii; *ὅταν εἰς σὸν* cod., *ὅτ' ἂν* ed. Marcksch.

1) „Mihi fere certum videtur, Hesiodum in hoc carmine *ἠπήσασθαι* vocabulo usum fuisse, nisi forte totum hemistichium ex eo sumptum est.“ Marcksch.

174.

Quintil. I, 1, 15: Quidam litteris instituendos, qui minores septem annis essent, non putaverunt, quod illa primum aetas et intellectum disciplinarum capere et laborem pati posset. In qua sententia Hesiodum esse plurimi tradunt, qui ante grammaticum Aristophanen fuerunt. Nam is primus *ὑποθήκας*, in quo libro scriptum hoc invenitur, negavit esse huius poetae.

---

DACTYLI IDAEI.

Suid. v. *Ἡσίοδος* (v. p. 78): *ποιήματα δὲ αὐτοῦ ταῦτα· ....... περὶ τῶν Ἰδαίων Δακτύλων.*

Clem. Alex. Strom. I p. 132 (306 A) Sylb. 360 Pott. *Τινὲς δὲ μυθικώτερον τῶν Ἰδαίων καλουμένων δακτύλων σοφούς τινας πρώτους γενέσθαι λέγουσιν, εἰς οὓς ἥ τε τῶν Ἐφεσίων λεγομένων γραμμάτων καὶ ἡ τῶν κατὰ μουσικὴν εὕρεσις ῥυθμῶν ἀναφέρεται. δι᾽ ἣν αἰτίαν οἱ παρὰ τοῖς μουσικοῖς δάκτυλοι τὴν προσηγορίαν εἰλήφασι. Φρύγες δὲ ἦσαν καὶ βάρβαροι οἱ Ἰδαῖοι δάκτυλοι.* Et paullo infra (p. 362 Pott.): *Κέλμις τε αὖ καὶ Δαμναμενεὺς οἱ τῶν Ἰδαίων δακτυλοι πρῶτοι σίδηρον εὗρον ἐν Κύπρῳ, Δέλας δὲ κτλ.* (cf. fragm. 176).

De hoc carmine Lobeck Aglaoph. p. 1156: „Suidae testimonio nobis innotuit carminis Hesiodei inscriptio *περὶ Ἰδαίων Δακτύλων*, Cretensium an Phrygiorum, haud facile dictu; nam totum amissum est. Sed eodem

auctore Plinius Dactylos Cretae infert VII, 57[1].... nisi illė, quos Hesiodus ambiguo nomine Idaeos vocaverat, suo arbitrio Idae Creticae assignavit, ut notiori. Sed aliam Hesiodi sententiam Clemens affert Strom. I p. 362[2]... excusabili discrepantia, quoniam Hesiodo plura a diversis auctoribus subiecta sunt carmina. Is quidem qui Theogoniam condidit, ubi Iovem in Creta natum et altum multis versibus narrat, educatores eius Dactylos silentio praetermittit velut ignotos". Cf. Marcksch. p. 172.

175.

Plin. N. H. VII, 56 (§ 197): Aes conflare et temperare Aristoteles Lydum Scythen monstrasse, Theophrastus Delan Phrygem putant, aerariam fabricam alii Chalybas, alii Cyclopas, ferrum Hesiodus in Creta eos qui vocati sunt Dactyli Idaei.

176.

Clem. Alex. Strom. I p. 132 (307 A) Sylb. 362 Pott. Δέλας δὲ ἄλλος Ἰδαῖος εὗρε χαλκοῦ κρᾶσιν, ὡς δὲ Ἡσίοδος, Σκύθης.

---

## MELAMPODIA.

Carmen hoc multi scriptores Hesiodo tribuerunt; cf. Athen. II p. 40 F. XI p. 498 A. XIII p. 609 E. Clem. Alex. Strom. VI p. 266 (628 D) Sylb. 751 Pott. Cf. Strab. XIV p. 642 et Pausaniae locum supra (p. 79) exscriptum. A Scholiasta vetere[3] ad Lycophr. 683 (quem sequitur Tzetza) ὁ τῆς Μελαμποδίας ποιητὴς affertur.

---

1) Fr. 175. 2) Fr. 176. 3) Cf. p. 29. Scholium Homericum (Cod. Palat. ad Od. λ 90), cuius mentionem fecit Marck-

Secundus liber ab Athen. XI p. 498 A., tertius XIII p. 609 E citatur.

Carmen celeberrimorum vatum, Mopsi, Amphilochi, Calchantis, Tiresiae historias comprehendisse et a clarissimo eorum Melampode nomen accepisse probabilis est coniectura Marckscheffelii p. 170.

---

## 177.

*Θαῦμά μ' ἔχει κατὰ θυμόν, ὅσους ἐρινειὸς ὀλύνθους*
*οὗτος ἔχει μικρός περ ἐών· εἴποις ἂν ἀριθμόν;*
*Μύριοί εἰσιν ἀριθμόν, ἀτὰρ μέτρον γε μέδιμνος·*
*εἷς δὲ περισσεύει, τὸν ἐπενθέμεν οὔ κε δύναιο.*
*ὣς φάτο· καί σφιν ἀριθμὸς ἐτήτυμος εἴδετο μέτρου·*
*καὶ τότε δὴ Κάλχανθ' ὕπνος θανάτοιο κάλυψε.*

Strab. XIV p. 642: *λέγεται δὲ Κάλχας ὁ μάντις μετ' Ἀμφιλόχου τοῦ Ἀμφιαράου κατὰ τὴν ἐκ Τροίας ἐπάνοδον πεζῇ δεῦρο ἀφικέσθαι, περιτυχὼν δ' ἑαυτοῦ κρείττονι μάντει κατὰ τὴν Κλάρον, Μόψῳ τῷ Μαντοῦς τῆς Τειρεσίου θυγατρός, διὰ λύπην ἀποθανεῖν. Ἡσίοδος μὲν οὖν οὕτω πως διασκευάζει τὸν μῦθον· προτεῖναι γάρ τι τοιοῦτο τῷ Μόψῳ τὸν Κάλχαντα „θαῦμα — ἀριθμόν"*; (V. 1—2) *τὸν δ' ἀποκρίνασθαι „μύριοι — κάλυψε"* (V. 3—6).

---

scheffel, a manu rec. ex Tzetzae adnotat. ad Lycophr. transcriptum esse hodie constat; cf. Buttm. et Dind. ad loc.

Fragm. CLXXVII. 1. *ἐρινεὸς ὅσους ὀλύνθους* libri; *ἐρ. ὅσσον ὀλύνθων* Xyland. *ἐρινεὸς οὗτος· ὀλύνθους οὓς ὅδ' ἔχει* Herm. praefat. Eur. Hel. p. XVII. Quod dedimus, debetur Tzschuckio et Boiss. — 4. *ἐπενθέμεν*] Sic Spohn de extrema Odyss. part. p. 72; *ἐπελθέμεν* libri Strab. — *οὔ κε δύναιο* Voss et Meineke ad Euphor. p. 103 pro *οὐκ ἐδύναο* (vel *ἐδύναιο*).

178.

Ζεῦ πάτερ, εἴθ' ἧσσω μοι ἔχειν αἰῶνα βίοιο
ὤφελλες δοῦναι καὶ ἴσα φρεσὶ μήδεα ἴδμεν
θνητοῖς ἀνθρώποις· νῦν δ' οὐδέ με τυτθὸν ἔτισας,
ὅς γέ με μακρὸν ἔθηκας ἔχειν αἰῶνα βίοιο
ἑπτά τ' ἐπὶ ζώειν γενεὰς μερόπων ἀνθρώπων.

Tzetz. ad Lycophr. v. 682 πέμπελον] τὸν ὑπέργηρων ....... νῦν δὲ τὸν Τειρεσίαν λέγει, ἐπειδή φασιν αὐτὸν ἑπτὰ γενεὰς ζῆσαι· ἄλλοι δὲ ἐννέα· ἀπὸ γὰρ Κάδμου ἦν καὶ κατωτέρω Ἐτεοκλέους καὶ Πολυνείκους, ὥς φησι καὶ ὁ τῆς Μελαμποδίας ποιητής· παρεισάγει γὰρ τὸν Τειρεσίαν λέγοντα „Ζεὺς — ἀνθρώπων". Eosdem versus affert Exeg. in Il. p. 149.

179.

Οἴην μὲν μοῖραν δέκα μοιρέων τέρπεται ἀνήρ·
τὰς δέκα δ' ἐμπίμπλησι γυνὴ τέρπουσα νόημα.

Scholl. vett. ad Lycophr. 683 ἀνδρῶν γυναικῶν εἰδότα

---

Fragm. CLXXVIII. 1. Locus nondum emendatus. Mueller in ed. Tzetz. ad Lycophr. ed. εἴθε μοι ἧσσω μὲν αἰ. (εἴθε μοι εἰδ' ἧσσω μ' Codd. Vitt. 2, 3 et sic Tzetz. ad Il. nisi quod εὐθ' pro corrupto illo εἰδ'). Unde Voss εἴθε μοι εἴθ' ἧσσω γ' αἰῶνα coni. εἴθε μοι εἴθ' ἶσόν τ' Schneidew. Nobis probabilis videtur Hermanni emendatio, quam in textum recepimus. — 2. φρεσὶ] In edit. Lycophr. Muell. deest. — καὶ ἴσα, quod in comm. ad Lycophr. legitur, in cod. Exeg. Il. absorpsit lacuna. καὶ ἐναίσιμα μ. Gerhard. Lect. Apoll. p. 160. καὶ ἐνὶ φρ. Schneidew. — 4. Codd. Tzetz. ad Lycophr. ὅς γε μακρόν μ' aut ὅς με μακρόν γε. ( . . . . . ακρόν γε Tzetz. Exeg.) — 5. τ'] μ' codd. Tzetz. utroque loco. δ' Goettl. τ' scripsi. — ἔτι (ut Exeg. Il.) codd. nonnulli comm. ad Lycophr.; ἔτη rell. (?) — ἐπὶ Marcksch. ex Phlegonte (βιοῦν ἐπὶ γενεὰς ἑπτά, cf. ad fr. 179).

Fragm. CLXXIX. 1. ἴην Voss. c. codd. nonnullis Tzetz. et Apollod. μοιρέων Koechly; μοιρῶν vulgo. — 2. τὰς δέκα δ']

ξυνουσίας] λέγεται τὸν Δία τῇ Ἥρᾳ ἐρίσαι, φάσκοντα τὰς θηλείας ἥδεσθαι μᾶλλον τῇ πολλῇ συνουσίᾳ ἤπερ τοὺς ἄνδρας[1]), καὶ χρήσασθαι τῷ Τειρεσίᾳ κριτῇ διὰ τὰς δύο αὐτοῦ μορφάς· τὸν δὲ εἰρηκέναι δέκα οὐσῶν τῶν πασῶν ἡδονῶν μίαν μὲν ἔχειν τοὺς ἄρρενας, τὰς δὲ λοιπὰς θ' τὰς γυναῖκας. ὀργισθεῖσα δὲ ἡ Ἥρα ἐτύφλωσεν αὐτόν· ὁ δὲ Ζεὺς ἐχαρίσατο αὐτῷ μαντικὴν καὶ πολυχρόνιον ζωήν, ὡς ὁ τῆς Μελαμποδίας ποιητής· „ἐννέα μὲν μοίρας· δέκατην δέ τε μοῖραν τέρπεται ἀνήρ· — νόημα". Veram lectionem (οἴην μὲν κτλ.) servarunt Tzetz. ad loc. Schol. Ambr. et Harl. ad Hom. Od. κ, 494. Adnotatio marginalis ad Apollod. III, 6, 7, 6, quam a mythographi textu seiunxerunt Faber. Herch.

Apollod. l. l. (§ 4 sq.) Ἡσίοδος δέ φησιν ὅτι θεασάμενος (sc. Τειρεσίας) περὶ Κυλλήνην ὄφεις συνουσιάζοντας, καὶ τούτους τρώσας, ἐγένετο ἐξ ἀνδρὸς γυνή, πάλιν δὲ τοὺς αὐτοὺς ὄφεις παρατηρήσας συνουσιάζοντας ἐγένετο ἀνήρ. διόπερ Ἥρα καὶ Ζεὺς ἀμφισβητοῦντες πότερον τὰς γυναῖκας ἢ τοὺς ἄνδρας ἥδεσθαι μᾶλλον ἐν ταῖς συνουσίαις συμβαίνοι, τοῦτον ἀνέκριναν κτλ. Cf. Phleg. Trall. Mirab. cap. IV p. 74 sq. Xyl. [73 sq. Keller]: ἱστορεῖ δὲ καὶ Ἡσίοδος καὶ

---

τὰς δὲ δέκ' Adnotat. ad Apollodor. — „Manifestum fit, legendum esse ἐννέα δ' ἐμπ. nam e decem partibus una detracta supersunt novem" Heyne. Hanc loci interpretationem (quam Phlegontis verbis firmari posse persuasum sibi habebat Heyne) falsam esse ostendit Marcksch. — ἐμπίμπλησι Adnot. ad Apollod.; ἐμπίπλησι auctores reliqui.

1) τὰς θηλείας εἴπερ (η) τοὺς ἄνδρ. ἥδεσθαι — συνουσίᾳ καὶ χρ. κτλ. cod. Marc.

*Δικαίαρχος καὶ Κλέαρχος καὶ Καλλίμαχος καὶ ἄλλοι τινὲς περὶ Τειρεσίου τάδε. Τειρεσίαν τὸν Εὐήρους ἐν Ἀρκαδίᾳ [ἄνδρα] ὄντα ἐν τῷ ὄρει τῷ ἐν Κυλλήνῃ ὄφεις ἰδόντα ὀχεύοντας τρῶσαι τὸν ἕτερον καὶ παρὰ χρῆμα μεταβαλεῖν τὴν ἰδέαν· γενέσθαι γὰρ ἐξ ἀνδρὸς γυναῖκα καὶ μιχθῆναι ἀνδρί. τοῦ δὲ Ἀπόλλωνος αὐτῷ χρήσαντος, ὡς ἐὰν τηρήσας ὀχεύοντας ὁμοίως τρώσῃ τὸν ἕνα ἔσται οἷος ἦν, παραφυλάξαντα τὸν Τειρεσίαν ποιῆσαι τὰ ὑπὸ τοῦ θεοῦ ῥηθέντα καὶ οὕτως ἀνακομίσασθαι τὴν ἀρχαίαν φύσιν. Διὸς δὲ ἐρίσαντος Ἥρᾳ κτλ.* — Eustath. ad Od. p. 1665, 41 sqq. Rom. 407 Bas.

180.

*Ἥδιστον δ' ἐν δαιτὶ καὶ εἰλαπίνῃ τεθαλυίῃ*
*τέρπεσθαι μύθοισιν, ἐπὴν δαιτὸς κορέσωνται.*

Athen. II p. 40 F: „*ἥδιστον — κορέσωνται*", *Ἡσίοδος ἐν τῇ Μελαμποδείᾳ φησίν.*

181.

*Ἡδὺ δὲ καὶ τὸ πυθέσθαι, ὅσα θνητοῖσιν ἔνειμαν*
*ἀθάνατοι, δειλῶν τε καὶ ἐσθλῶν τέκμαρ ἐναργές.*

Clem. Alex. Strom. VI p. 266 sq. (628 D) Sylb. 751 Pott. *Ἡσίοδός τε ἐπὶ τοῦ Μελάμποδος ποιεῖ* „*ἡδὺ — ἐναργές*", *καὶ τὰ ἑξῆς παρὰ Μουσαίου λαβὼν τοῦ ποιητοῦ κατὰ λέξιν.*

---

Fragm. CLXXX. 1. *ἡδύ ἐστιν ἐν* (vulgo ex coniectura legitur *ἡδὺ γάρ ἐστ' ἐν*) codd; em. Meineke. Cf. Huebneri Herm. I (1866), 2. — Post hoc fragmentum aut nullo aut exigno intervallo secutum esse proximum recte vidit Buttm. Lex. I p. 128.

Fragm. CLXXXI. 1. *ἔνειμαν*] Sic Marcksch.; *ἔδειμαν* vulgo. *ἔδειξαν* Goettl. — 2. *δεινῶν* Koechly coni. ep. I p. 13.

182. 183.

*Τῷ δὲ Μάρης θοὸς ἄγγελος ἦλθε δι' οἴκου,*
*πλήσας δ' ἀργύρεον σκύπφον φέρε, δῶκε δ' ἄνακτι.*

---

*Καὶ τότε Μάντης μὲν δεσμὸν βοὸς αἴνυτο χερσίν,*
*Ἴφικλος δ' ἐπὶ νῶτ' ἐπεμαίετο. τῷ δ' ἔπ' ὄπισθεν*
*σκύπφον ἔχων ἑτέρῃ, ἑτέρῃ δὲ σκῆπτρον ἀείρας,*
*ἔστειχεν Φύλακος καὶ ἐνὶ δμώεσσιν ἔειπεν.*

Athen. XI p. 498 A—B: *Ἡσίοδος δ' ἐν τῷ δευτέρῳ Μελαμποδείας σὺν τῷ π σκύπφον λέγει* „*τῷ — ἄνακτι*". *καὶ πάλιν* „*καὶ τότε — ἔειπεν*". Versum secundum (*πλήσας — ἄνακτι*) Athenaeo auctore usus affert Eustath. ad Il. p. 900, 17 Rom. (858 Bas.) ad Od. p. 1775, 17 sq. (565 Bas.).

184.

De Proeti filiabus quas Melampode sanatas esse constat, Apollod. II, 2, 1, 4: *Ἀκρίσιος μὲν Ἄργους βασιλεύει, Προῖτος δὲ Τίρυνθος. καὶ γίνεται Ἀκρισίῳ μὲν ἐξ Εὐρυδίκης τῆς Λακεδαίμονος Δανάη, Προίτῳ δὲ ἐκ Σθενεβοίας*[1]) *Ἰφινόη Λυσίππη Ἰφιάνασσα· αὗται δὲ ὡς ἐτελειώθησαν, ἐμάνησαν, ὡς μὲν Ἡσίοδός φησιν, ὅτι τὰς Διονύσου τελετὰς οὐ κατεδέχοντο.* Ad Melampodiam refert Ruhnken.

185.

Athen. XIII p. 609 E. *Ἡσίοδος δ' ἐν τρίτῳ*

---

Fragm. CLXXXIII. 1. *μάντης* Cod. Ven. Athenaei. Recepit Meineke („Nomen proprium requiri sequentia ostendunt" Anal. crit. p. 229; cf. Herm. Vol. I p. 327); *μάντις* vulgo. — *βοὸς* Hemsterh. ad Hesych. I p. 1366; *βιός* vel *βίος* codd. Athenaei. — 1) Cf. Prob. ad Verg. Buc. VI, 48 p. 22 Keil.

*Μελαμποδείας τὴν ἐν Εὐβοίᾳ Χαλκίδα καλλιγύναικα εἶπεν.* Cf. Eustath. ad Hom. Il. p. 875, 52 Rom. 825 Bas.

186.

Strab. XIV p. 676: *Ἡσίοδος δ' ἐν Σόλοις ὑπὸ Ἀπόλλωνος ἀναιρεθῆναι τὸν Ἀμφίλοχόν φησιν.* Cf. fragm. 177.

187.

*Μάντις δ' οὐδείς ἐστιν ἐπιχθονίων ἀνθρώπων,*
*ὅστις ἂν εἰδείη Ζηνὸς νόον αἰγιόχοιο.*

Clem. Alex. Strom. V p. 259 (610 B) Sylb. 727 Pott. *Ἀλλὰ καὶ Ἡσίοδος δι' ὧν γράφει συνᾴδει τοῖς προειρημένοις· „μάντις — αἰγιόχοιο“.*

---

OPERA MAGNA.

Proculus ad Hes. Opp. 126: *Τὸ δ' ἀργύρεον ἔνιοι τῇ γῇ ἀκούουσι, λέγοντες ὅτι ἐν τοῖς μεγάλοις ἔργοις τὸ ἀργύριον τῆς γῆς γενεαλογεῖ.* Fulgent. Mythol. III, 1: „Hesiodus in bucolico carmine.[1]) Cf. fragm. 188. Unde colligi potest tale carmen „uberius de agricultura exponens deque aliis rebus ad eam pertinentibus, lithicis adeo, si id concludere licet ex fragm. 196, et plantis (fragm. 188 sq.)“[2]) Hesiodo nostro

1) Apud Athen. VIII p. 364 B legebatur: *νῦν δὲ τούτων κτλ. . . . . . ἅπερ πάντα ἐκ τῶν εἰς Ἡσίοδον ἀναφερομένων μεγάλων Ἠοίων καὶ μεγάλων Ἔργων πεπαρῴδηται*, sed verba *καὶ μεγάλων Ἔργων* seclusit Dind., cui adstipulantur recentiores. Cf. Manil. Astron. II, 19 sqq. Propert. II (III) 34, v. 77 sq. 2) Verba sunt Goettlingii in praefat. p. XXXIX.

adscriptum esse. De hac re disseruerunt I. L. Hug „Hesiodi *ΕΡΓΑ ΜΕΓΑΛΑ*“ Frib. 1835. Welcker Mus. Rhen. I (1833) p. 425 sqq. Caesar in Diar. Antiq. V (1838) n. 65 sqq. (p. 529 sqq.) Marckscheff. Hesiodi .... fragmenta p. 202 sqq. Mure Hist. Litt. Grr. Vol. II p. 389 sq. 501—503.

---

188.

Fulgent. Mythol. III, 1 p. 705 Stav. „Proetos Pamphyla lingua sordidus dicitur, sicut Hesiodus in Bucolico carmine scribit dicens: peprigrosis ta fulve ulactis menes emorum, id est sordidus uvarum bene calcatarum sanguineo rore“. Ad h. loc. Muncker: „Graeca verba omissa sunt in 6 editionibus. Ms. Leid. ea ita repraesentat: Pritos ista flueu tactis mene semorum“.[1]) — Jacobs in ed. Goettl. p. 255: „Fulgentii locus in cod. membr. Bibl. Goth. sic legitur:

al'proetg r. sordidg

Pritos pamphila lingua sordidus dr: sicut esiodus in

l. dicens

bucolico carmine scribit πϱotoc ctaφoyaon cadocdaktec τunaιμatιoc ΔPωΦOC. Id est Sordidus uvarum bene

vl' us l' ros

calcatarum sangneo rore. — Hac scriptura egregie stabilitur correctio σταφυλῶν, in postremis autem nihil latere potest nisi αἱμάτιος δρόσος, quod aeque bene dici potuit

---

1) Ms. Bodl. ap. Gaisf.: pepigros sta fulvē lactismenesemorum. Cod. Bern. 427 (cuius lectionem benigne mecum communicavit Arm. Hagen): pepigros ista fulueo lactis mene semoru.

quam *θῆλυς ἐέρση*. Tum bene Fulgentii in Graeco textu, si membranis nostris fides haberi debet, non fuit *εὖ*, sed *καλῶς*. Supersunt literae daktec tun, a quibus nihil propius abest quam *λακτιστῶν* a *λακτιστός*, i. e. *λελακτισμένος*. Quare non dubito Fulgentium, aut librarium, sic habuisse in codice suo: *προῖτος σταφυλῶν καλῶς λακτιστῶν αἱμάτιος δρόσος*, quae verba ille sic vertit: sordidus uvarum bene calcatarum sanguineus ros. Graeca autem verba utrum Hesiodi sint, an ficta, alii diiudicent". [1])

## 189.

Plinius N. H. XV, 1 § 3: Hesiodus quoque in primis cultum agrorum docendam arbitratus vitam negavit oleae satorem fructum ex ea percepisse quemquam; tam tarda tunc res erat. „Huc pertinet Herodot. V, 82: *λέγεται δὲ καὶ ὡς ἐλαῖαι ἦσαν ἄλλοθι γῆς οὐδαμοῦ κατὰ χρόνον κεῖνον* (fere 500 annos a. Chr.) *ἢ ἐν Ἀθήνῃσι*". Goettl.

## 190.

Plin. N. H. XXII, 22 § 67: Asphodelum de clarissimis herbarum, ut quod heroum aliqui appellaverint, Hesiodus et in fluviis nasci dixit.

## 191.

Ibid. paullo infra (§ 73): Asphodelon ab Hesiodo quidam halimon appellari existumavere, quod falsum ar-

---

1) [ὁ] *δὲ προῖτος σταφυλῆφι* | *εὖ λακτιζομένης αἱμορρόῳ* —∪ *ἐέρσῃ*, Ritschl (Sched. crit. p. 35), qui ad veritatem proxime accessisse videtur. — *βεβριθὼς σταφυλῆσιν ἐὖ λακτιζομένῃσι αἱμόρροις* Spengel in Diar. Antiq. II (1835) p. 208. Aliorum de h. l. tentamina v. ap. Marcksch.

bitror; est enim suo nomine halimon, non parvi et ipsum erroris inter auctores.

192.

Plin. N. H. XXI, 20 § 145: Polio Musaeus et Hesiodus perungui iubent dignationis gloriaeque avidos; polium tractari, coli, polium contra venena haberi, contra serpentis substerni, uri, portari, in vino decoqui recens vel aridum inlinique. Cf. XXI, 7 § 44: Sicut apud Graecos polium herbam, inclutam Musaei et Hesiodi laudibus, ad omnia utilem praedicantium superque cetera ad famam etiam ac dignitates, prorsusque miram, si modo, ut tradunt, folia eius mane candida, meridie purpurea, sole occidente caerulea adspiciuntur. Cf. Theophr. Hist. Plant. IX, 23 St. (19, 2 Wimm.): *καὶ ὥς δή φασι τὸ τριπόλιον* (al. *πόλιον*)[1]) *καθ' Ἡσίοδον καὶ Μουσαῖον εἰς πᾶν πρᾶγμα σπουδαῖον χρήσιμον εἶναι δι' ὃ καὶ ὀρύττουσιν αὐτὸ νύκτωρ σκηνὴν πηξάμενοι.* Cf. Lobeck. Aglaoph. p. 309.

193.

Plin. N. H. XXV, 2 § 12: Primus autem omnium, quos memoria novit, Orpheus de herbis curiosius aliqua prodidit, post eum Musaeus et Hesiodus polium herbam in quantum mirati sint diximus, Orpheus et Hesiodus suffitiones conmendavere.

194.

Plin. N. H. XXIII, 1 § 42: Meracis potionibus per viginti dies ante canis ortum totidemque postea suadet Hesiodus uti.

---

1) „Videtur Hesiodus *τριπέτηλον* dixisse“ Goettl. opuscc. acadd. p. 197.

195.

Serv. ad Verg. Georg. III, 280: Scit lectum esse apud Hesiodum (al. Theocritum) herbam esse quandam, quae hippomanes vocatur, quasi *ἵππου μανία*. Si enim eam comederint equi, furorem patiuntur.

196.

Proculus ad Hes. Opp. 126: *Τὸ δ' ἀργύρεον ἔνιοι τῇ γῇ ἀκούουσι, λέγοντες, ὅτι ἐν τοῖς μεγάλοις Ἔργοις τὸ ἀργύριον τῆς Γῆς γενεαλογεῖ.*

---

## ORNITHOMANTIA.

Procl. ad Hes. Opp. 826 (824) sqq. p. 368 (447) Gaisf. (*ὄρνιθας κρίνων κτλ.*)]: *Τούτοις δὲ ἐπάγουσί τινες τὴν ὀρνιθομαντείαν, ἅ τινα Ἀπολλώνιος ὁ Ῥόδιος ἀθετεῖ.*

---

## INCERTAE SEDIS FRAGMENTA.

197.

Auctor libri de caelo III, 1 (Aristot. ed. Bekk. p. $298^b$ 25 sqq.): *Εἰσὶ γάρ τινες οἵ φασιν οὐθὲν ἀγένητον εἶναι τῶν πραγμάτων, ἀλλὰ πάντα γίγνεσθαι· γενόμενα δὲ τὰ μὲν ἄφθαρτα διαμένειν, τὰ δὲ πάλιν φθείρεσθαι, μάλιστα μὲν οἱ περὶ Ἡσίοδον, εἶτα καὶ τῶν ἄλλων οἱ πρῶτοι φυσιολογήσαντες.* Locum indicavit Goettling in Spicil. primo fragmentorum Hesiodi (= Opuscc. acadd. [Lips. 1869] p. 194).

198.

Diog. Laert. VIII, 1, 25 (§ 48) p. 281 Huebn.: Ἀλλὰ μὴν καὶ τὸν οὐρανὸν πρῶτον ὀνομάσαι κόσμον καὶ τὴν γῆν στρογγύλην (Πυθαγόραν), ὡς δὲ Θεόφραστος, Παρμενίδην, ὡς δὲ Ζήνων, Ἡσίοδον.

199.

Οὐρανίη δ' ἄρ' ἔτικτε Λίνον πολυήρατον υἱόν,
ὃν δὴ ὅσοι βροτοί εἰσιν ἀοιδοὶ καὶ κιθαρισταὶ
πάντες μὲν θρηνοῦσιν ἐν εἰλαπίναις τε χοροῖς τε,
ἀρχόμενοί τε Λίνον καὶ λήγοντες καλέουσιν.

Schol. Vict. ad Hom. Il. Σ, 570: καὶ Ἡσίοδος „Οὐρανίη — καλέουσιν". Hos versus etiam Eudocia p. 278, 1 sqq. et Eustath. ad Il. p. 1163, 61 sqq. Rom. 1222 Bas. afferunt.

200.

Παντοίης σοφίης δεδαηκότα.

Clem. Alex. Strom. I p. 121 (281 A) Sylb. 330 Pott. Ἡσίοδος γὰρ τὸν κιθαριστὴν Λίνον παντοίας σοφίας δεδαηκότα εἰπὼν καὶ ναύτην οὐκ ὀκνεῖ λέγειν σοφὸν [1]) κτλ.

201.

Εἰ μὴ Ἀπόλλων Φοῖβος ὑπὲκ θανάτοιο σαώσει,
ἢ καὶ Παιήων, ὃς ἁπάντων φάρμακα οἶδεν.

---

Fragm. CLXLIX. 1. δ' ἄρ' ἔτικτε] Sic Eud.; δ' ἔτικτε Schol. Hom., δ' ἂρ ἔτ. Eust. 3. ἐν εἰλ. ἠδὲ χοροῖσιν Eust. et Eud. — 4. ἀρχόμενοι δὲ Eust. Eud. — λαλέουσιν Eud.

Fragm. CC. παντοίας σοφίας Clem., corr. Hermann. — Goettl. putat antecedentem versum sic exiisse: Λίνον κιθαριστήν

1) Opp. 649.

Fragm. CCI. 1. σαώσει] Sic Scholl. ad v. 231; σαώσαι, σαῶσαι vel σάωσεν al. σαώσῃ Hemsterh. — 2. Locum diffi-

Schol. Marc. Hamb. ad Hom. Od. *δ*, 232: *Ἡσίοδος δὲ μάρτυς ἐστὶ τοῦ ἕτερον εἶναι τὸν Παιήονα τοῦ Ἀπόλλωνος, λέγων „εἰ — οἶδεν“.* Cf. Schol. Harl. Ambr. etc. ad v. 231. Eustath. ad loc. p. 1494, 11 sqq. Rom. 165 Bas. *Παιήων δὲ θεῶν ἰατρὸς ὡς καὶ ἡ Ἰλιὰς μυθεύεται, ἕτερος ὢν Ἀπόλλωνος ὡς καὶ Ἡσίοδος δηλοῖ εἰπών· εἰ μὴ Ἀπόλλων Φοῖβος ἐκ θανάτου σώσει ἢ Παιήων ὃς πάντων φάρμακα οἶδε.*

202.

*Αὐτὸς γὰρ πάντων βασιλεὺς καὶ κοίρανός ἐστιν,*
*ἀθανάτων τέ οἱ οὔτις ἐρήρισται κράτος ἄλλος.*

Clem. Alex. Protr. c. VII p. 21 (48 A) Sylb. 63 Pott. *Ταύτῃ τοι καὶ ὁ Ἀσκραῖος αἰνίττεται Ἡσίοδος τὸν θεόν· „αὐτὸς — ἄλλος“.* Hi versus inveniuntur etiam in eiusdem auctoris Strom. V p. 257 (603 A) Sylb. 716 Pott. apudque Euseb. Praep. Ev. XIII, 13 p. 680 C.

203.

*Δῶρα θεῶν μακάρων πλῆσθαι χθονί.*

Cram. Anecd. Oxon. I p. 148: *Καὶ Ὅμηρος*[1]) *„ἀλλὰ μάλα Σκύλλης σκοπέλῳ πεπλημένος εἶναι“. τούτου γὰρ*

---

cillimum multi tractarunt. — *ἢ καὶ*] Sic Herm. Goettl.; *ἢ αὐτὸς* Scholl. utroque loco. — *ἁπάντων* praebent Scholl. Marc. vulg. ad v. 232; *πάντα* Schol. Hamb. (ad v. 232) et Harl. ad v. 231; *πάντα τε* codd. Ambr. *πάντων* Eust. — Totum versum Hemsterh. sic refingit: *ἢ Παιήων, ὃς περὶ πάντων φάρμακα εἰδώς.* Plura dabit Marcksch. p. 375.

Fragm. CCII. 2. In Clem. Protr. legebatur *ἀθανάτων τε, ὁ δ' οὔ τις,* — Strom. autem codd. (cum Euseb.) *ἀθανάτων· σέο δ' οὔτις* praebent. *ἀθανάτων· θέῳ δ' οὔτις* Sylb., *ἀθανάτων· σοί δ' οὔτις* Heins., *ἀθανάτων· τῷ δ' οὔτις* Dind. Quod dedimus, debetur Buttmanno Gramm. Gr. uber. I[1] p. 335 not.

1) Od. *μ*, 108.

ἀπαρέμφατον Δωριστὶ πλῆσθαι, ἐνεστῶτος ὡς ἠρῆσθαι· Ἡσίοδος· „δῶρα — χθονί". ἢ κατ' ἀφαίρεσιν τοῦ παρακειμένου.[1])

204.

Ξυναὶ γὰρ τότε δαῖτες ἔσαν, ξυνοὶ δὲ θόωκοι
ἀθανάτοισι θεοῖσι καταθνητοῖς τ' ἀνθρώποις.

Origen. c. Cels. Lib. IV p. 216 Spenc. [XIX p. 122 Lomm.] Εἴπερ γὰρ κατὰ πρόνοιαν ὁ κόσμος γεγένηται καὶ θεὸς ἐφέστηκε τοῖς ὅλοις, ἀναγκαῖον ἦν τὰ ζώπυρα τοῦ γένους τῶν ἀνθρώπων ἀρξάμενα ὑπό τινα γεγονέναι φρουρὰν τὴν ἀπὸ κρειττόνων, ὥστε κατ' ἀρχὰς ἐπιμιξίαν γεγονέναι τῆς θείας φύσεως πρὸς τοὺς ἀνθρώπους· ἅπερ καὶ ὁ Ἀσκραῖος ποιητὴς ἐννοῶν εἶπε· „ξυναὶ — ἀνθρώποις". Versum priorem citat Schol. ad Arat. 102. Hos versus post Opp. 120 inserit Spohn.

205.

*Μουσάων, αἵτ' ἄνδρα πολυφραδέοντα τιθεῖσι*
*θέσπιον, αὐδήεντα.*

Clem. Alex. Strom. I p. 123 sq. (287 B) Sylb. 337 Pott. Καὶ Ἡσίοδος· „Μουσάων — αὐδήεντα". εὔπορον μὲν γὰρ ἐν λόγοις τὸν πολυφράδμονα λέγει, δεινὸν δὲ τὸν αὐδήεντα[2]), καὶ θέσπιον τὸν ἔμπειρον καὶ φιλόσοφον καὶ τῆς ἀληθείας ἐπιστήμονα.

---

1) „Neutrum verum est; πλῆσθαι est inf. aor. 2, ut reliquae formae, de quibus grammaticus in proximis disputat" Marcksch.
Fragm. CCIV. 1. ξυνοὶ δ' αὖ θῶκοι Scholl. ad Arat. (sed ξυνοὶ δὲ θῶκοι Scholl. Mosq. Marc.).
Fragm. CCV. 1. τιθεῖσαι Clem.; corr. Dind.
2) Hom. Od. κ, 136.

206.

*Μουσοπνόων στομάτων.*

Procli Proleg. ad Hes. p. 4 Gaisf. *Ταῦτα μὲν οὖν καὶ ἐν ἄλλοις εἴρηται. νῦν δὲ τῶν ἐν τῷ βιβλίῳ λέξεων τὰς δεομένας σαφηνείας διερμηνεύσωμεν, καὶ εἴ τι περιττότερόν ἐστιν ἢ κατὰ τοὺς πολλοὺς τῶν ταῦτα μετιόντων συμπαραλαμβάνοντες.* Hic addit Cod. Dorvill. *Ῥήσεις Ἡσιόδου μουσοπνόων στομάτων. Ἄλλως.* — Indicavit Rob. Unger Sinide p. 108 not. Cf. Goettl. Spicileg. alterum fragmentorum Hesiodi (= Opuscc. acadd. p. 197).

207.

*Ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη*
*ἀνδρῶν ἡβώντων· ἔλαφος δέ τε τετρακόρωνος·*
*τρεῖς δ' ἐλάφους ὁ κόραξ γηράσκεται· αὐτὰρ ὁ φοῖνιξ*
*ἐννέα τοὺς κόρακας· δέκα δ' ἡμεῖς τοὺς φοίνικας*
*νύμφαι ἐυπλόκαμοι, κοῦραι Διὸς αἰγιόχοιο.*

Plutarch. moral. p. 415 C. *Ὁ δὲ Ἡσίοδος οἴεται καὶ περιόδοις τισὶ χρόνων γίνεσθαι τοῖς δαίμοσι τὰς τελευτάς· λέγει γὰρ ἐν τῷ τῆς Ναΐδος προσώπῳ, καὶ τὸν χρόνον αἰνιττόμενος, „ἐννέα — αἰγιόχοιο“.* Hoc fragmentum afferunt etiam Interprr. Vergilii Buc. VII. 30 p. 307 Lion; V. 1—2 laudant Etym. M. p. 13, 37 (cf. 230, 54) Etym. Gud. p. 6, 50 sq. Etym. ap. Cram. An. Par. IV p. 60. Tzetz. Exeg. Il. p. 149. Schol. Veron. ad Verg. Buc. VII, 30 p. 75 Keil. [Vivacis cervi et Homerus ita *ἐννέα κτλ.*] V. 1 Schol. ad Aristoph.

---

Fragm. CCVII. 1. *τοι*] Sic Plut.; *μὲν* Interprr. Verg. c. Scholl. Veron. *γὰρ* reliqui. — 2. *ἡβώντων*] *γηρώντων* Etym. Magn. Gud. Par. cum Tzetz. Aus. cf. Plut. p. 415 D. — 4. *ἐννέα μὲν κόρακας· φοίνικας δὲ δέκα ἡμεῖς* C. G. Mueller de cyclo p. 145.

Av. 609. Fragmentum praeterea respiciunt Plut. moral. p. 989 A. Tzetz. ad Lyc. 794. Plin. N. H. VII, 48 § 153. Cf. interpretationem latinam Ausonii Idyll. XVIII, quod inscriptum est „De aetatibus hominum Hesiodion“.

208.

Ioseph. Antiq. Iud. I, 3, 9 [Vol. I p. 12 Dind. ed. Par. 1865] quem sequitur Euseb. Praep. Evang. IX, 13 p. 415 D. — *Ἡσίοδός τε καὶ Ἑκαταῖος καὶ Ἑλλάνικος καὶ Ἀκουσίλαος, καὶ πρὸς τούτοις Ἔφορος καὶ Νικόλαος, ἱστοροῦσι τοὺς ἀρχαίους ζήσαντας ἔτη χίλια.* Potest referri ad Opp. 130.

209.

Hygin. Fab. 154. Phaethon Hesiodi. Phaethon Clymeni, Solis filii, et Meropes nymphae filius, quam Oceanitidem accepimus, quum indicio patris avum Solem cognovisset, impetratis curribus male usus est. Nam quum esset propius terram vectus, vicino igni omnia conflagrarunt: et fulmine ictus in flumen Padum cecidit. Hic amnis a Graecis Eridanus dicitur, quem Pherecydes primus[1]) vocavit. Indi autem, quod calore vicini ignis sanguis in atrum colorem versus est, nigri sunt facti. Sorores autem Phaethontis, dum interitum deflent fratris, in arbores sunt populos versae. Harum lacrimae, ut Hesiodus indicat, in electrum sunt duratae: Heliades tamen nominantur. Sunt autem Merope, Helie, Aegle, Lampetie, Phoebe, Aetherie, Dioxippe. Cygnus autem, rex Liguriae, qui fuit Phaethonti propinquus, dum deflet propinquum, in cygnum conversus est. Is quoque moriens flebile canit.

Schol. Strozz. ad Germ. Arat. 366 sq. (p. 174 Breysig) de Eridano: Hesiodus autem dicit inter astra

1) primus] primus Padum Marcksch., sed cf. Muetz. de emend. Theog. p. 467.

collocatum propter Phaethonta, Solis et Clymenes filium[1]), qui clam dicitur currum patris ascendisse cumque a terra altius levaretur, prae timore in Eridanum fluvium, qui et Padus, cecidisse, eumque percussum fulmine a Iove. omnia ardere coepisse causaque extinguendi universos amnes inmissos esse omneque mortalium genus interisse praeter Pyrram et Deucalionem. sorores quoque Phaethontis flentes etc. Cf. Schol. p. 185.[2]) — Lactant. Plac. Arg. Ov. Metamm. II fab. 2. 3 p. 796 Stav. Lacrimae earum, ut Hesiodus et Euripides indicant, in electrum sunt conversae. — Ab Eustathio ad Hom. Od. p. 1689, 3 sqq. Rom. 440 sq. Bas.[3]) falsa referri ostendit Marcksch.

210.

Diod. IV, 85 de freto Siculo disserens: *Ἔνιοι δὲ λέγουσι σεισμῶν μεγάλων γενομένων διαρραγῆναι τὸν αὐχένα τῆς ἠπείρου καὶ γενέσθαι τὸν πορθμόν, διειργούσης τῆς θαλάσσης τὴν ἤπειρον ἀπὸ τῆς νήσου. Ἡσίοδος δὲ ὁ ποιητής φησι τοὐναντίον, ἀναπεπταμένου τοῦ πελάγους Ὠρίωνα προσχῶσαι τὸ κατὰ τὴν Πελωρίδα κείμενον ἀκρωτήριον καὶ τὸ τέμενος τοῦ Ποσειδῶνος κατασκευάσαι, τιμώμενον ὑπὸ τῶν ἐγχωρίων διαφερόντως· ταῦτα δὲ διαπραξάμενον εἰς Εὔβοιαν μεταναστῆσαι κἀκεῖ κατοικῆσαι· διὰ δὲ τὴν δόξαν ἐν τοῖς κατ' οὐρανὸν ἄστροις καταριθμηθέντα τυχεῖν ἀθανάτου μνήμης.* Cf. fragm. 15.

211.

*Πρωὶ μάλ' ἠίθεον.*

Ammon. v. *ὄρθρος* p. 104 Valck. *καὶ Ἡσίοδος, τελευ-*

---

1) „Haec genealogia non Hesiodia videtur" Marcksch. 2) Scholiastam variorum auctorum narrationes miscuisse recte vidit Marcksch. 3) *Ἡσίοδος δέ φησι προμιγῆναι αὐτὴν (Κλυμένην) Ἡλίῳ καὶ τεκεῖν Φαέθοντα.* Cf. Eudoc. p. 261.

τῆσαί τινα „πρωὶ — ἠίθεον“. De Androgeo (cf. fragm. 124) locum capit Marcksch.

212.

Theo Progymn. c. VI in Walzii Rhett. Grr. I p. 217. Δεύτερον δὲ ἀπὸ τοῦ ἀδυνάτου ἐπιχειρήσομεν, δεικνύντες ὅτι ἀδύνατον τὸ πρᾶγμα οὕτω γενέσθαι, ὥς φησιν ὁ συγγραφεύς, ἤτοι διὰ τὸ μηδόλως πεφυκέναι γίνεσθαι, ἢ διὰ τὸ μὴ κατὰ τὸν αὐτὸν χρόνον εἶναι τὰ ἱστορούμενα, οἷον πρὸς τοὺς λέγοντας, ὅτι Ἡρακλῆς ἀπέκτεινε Βούσιριν· κατὰ γὰρ Ἡσίοδον πρεσβύτερος Ἡρακλέους ἐστὶν ὁ Βούσιρις ἕνδεκα γενεαῖς.[1])

213.

Schol. Laur. ad Apoll. Rhod. IV, 1396 ᾧ ἔνι Λάδων] Πείσανδρος τὸν δράκοντα ὑπείληφεν ἀπὸ τῆς γῆς γεγενῆσθαι, Ἡσίοδος δὲ ἐκ Τυφῶνός φησιν. In Theog. (v. 333) est filius Cetus et Phorcynis.

214.

Δαϊζομένοιο πόληος.

Philem. v. εὐφυής et Phavor. Lex. p. 781, 20 Bas. Καὶ[2])

---

1) Schneidew. coni. crit. p. 70: „Vix cuiquam credibile videbitur, Hesiodum ipsum id aperte testatum fuisse. Quod quidem esset eius, qui narrationem eorum, qui de Herculis et Busiridis rebus rettulissent, infringere conniteretur. At id non cadit in poetam Hesiodium. Sed Catalogorum Hesiodorum — ad hos enim Theonis memoria referenda fuerit — is orbis videtur fuisse, ut singuli heroes et complexus heroum ad ordinem quendam aetatum digesti essent. Et sic Busiris ante Herculem positus erat undecim aetatibus“.

Fragm. CCXIV. δαϊζομένοιο πόληος] Sic Goettl. δαϊζομένου πολ. Philem. Phav. Lex.; δαϊζομένου πόλιος e Phav. Lex. p. 435 a affert Marcksch. — δαϊζομένου δὲ πόληος ci. Marcksch.

2) καὶ] Εὐβοεῖς, ἐθνικόν, οἵτινες Phav.

τοῖς θηλυκοῖς ὀνόμασιν ἀρσενικὰ συντάττουσιν ἐπίθετα, ὡς παρ' Ὁμήρῳ· κλυτὸς Ἱπποδάμεια[1]), καὶ θερμὸς ἀυτμή[2]), καὶ ἁλὸς πολιοῖο[3])· καὶ παρ' Ἡσιόδῳ· „δαϊζομένου πόληος". Poetae verba ad Pyli expugnationem (cf. fr. 32, 33) retulit Lehmann.

215.

Ἀλκὴν μὲν γὰρ ἔδωκεν Ὀλύμπιος Αἰακίδῃσι,
νοῦν δ' Ἀμυθαονίδαις, πλοῦτον δ' ἔπορ' Ἀτρείδῃσι.

Suid. v. ἀλκή [I, 1 p. 227 Bernh.]· ἰσχύς, δύναμις. Ἡσίοδος· „ἀλκὴν — Ἀτρείδῃσι". — Nicol. Damasc. p. 40 Orell. ὅτι ἐδόκει φρονήσει τὸ τῶν Ἀμαθαονιδῶν γένος τὸ πάλαι ὂν ἐν τοῖς Ἕλλησι πρωτεύ(τ)ειν· ὥσπερ καὶ Ἡσίοδος φησὶν ἐν τούτοις· „ἀλκὴν — Ἀτρείδῃσι".

216.

Ποταμῷ ῥεέοντι ἐοικώς.

Serv. ad Verg. Georg. I, 245 In morem fluminis arctos] Hesiodus: „ποταμῷ — ἐοικώς".

217.

Τῇδε γὰρ ἀξυλίῃ κατεπύθετο κήλεα νηῶν.

Schol. Ven. A ad Hom. Il. Λ, 155: [Ἡ διπλῆ] πρὸς

1) Il. Β, 742. 2) Hymn. in Merc. 110. 3) Il. Υ, 229. Od. ε, 410. ι, 132.

Fragm. CCXV. 1. Αἰακίδαισι Nicol. Damasc. — 2. Ἀμαθαονίδαις Nic. Dam. — δὲ περ Suid., δὲ παρ' Nic. Dam.; Reitz ci. δὲ πόρ', Herm. δ' ἔπορ', quod cum Marckscheff. reposuimus.

Fragm. CCXVI. ῥέοντι Serv. ap. Lion.

Fragm. CCXVII. τῆλε vulgo; corr. Hermann. — κήλεα] χείλεα Herm. — κῆλ' ἀλιήων ci. Goettl.

τὴν ἄξυλον, ὅτι πολλὰς ἐκδοχὰς ἔσχηκεν. οἱ μὲν γὰρ τὴν θρυώδη ἀποδεδώκασιν, οἱ δὲ τὴν πολύξυλον· βέλτιον δὲ ἀφ' ἧς οὐδεὶς ἐξυλίσατο, ὡς Ἡσίοδος· „τῆλε — νηῶν".

218.

*Ἀλετρεύουσι μύλης ἔπι μήλοπα καρπόν.*

Schol. Ambr. (E) ad Hom. Od. η, 104: μύλη γὰρ καὶ τὸ ἄκρον τοῦ μηροῦ. καὶ Ἡσίοδος γάρ φησι τὸ „ἀλετρεύουσι — καρπόν", ἐπὶ τῆς ἠλακάτης τῆς στρεφομένης δίκην μύλης. μήλοπα γὰρ τὸν τῶν προβάτων καρπόν, ἤτοι τὸν μαλλόν. Lehmann de Alcinoi ancillis molentibus locum intellexit.

219.

*Οὐκέτι δὴ βαίνουσι λαροῖς ποσίν.*

Etym. M. p. 557, 8: λαρὸν .... λέγεται καὶ ἐπὶ τοῦ ἁπαλοῦ. Ἡσίοδος „οὐκέτι — ποσίν". Cf. Nauckii Lex. Vindob. p. 119. — Schol. Laur. ad Apoll. Rhod. I, 456: Ἡσίοδος δέ φησι „λαροῖς ποσίν", τοῖς κατ' ὄψιν ἡδέσιν.

220.

*Ὤπτησαν μὲν πρῶτα, περιφραδέως δ' ἐρύσαντο.*

Schol. Ven. A ad Hom. Il. Ω, 624: Σημειοῦνταί τινες ὅτι Ἡσίοδος ἐποίησεν „ὤπτησαν — ἐρύσαντο". οὐδεὶς δὲ περιφραδέως ἐξέλκει κρέα, ἀλλὰ μᾶλλον ὀπτᾷ.

---

Fragm. CCXVIII. ἔπι pro ἐπὶ Herm.

Fragm. CCXIX. Legebatur βαίνου λαροῖς ποσίν. Veram lect. e. cod. Voss. restituit Gaisf. Etym. M. p. 1584. [οὐκ ἐπειδὴ βαίνουσι Lex. Vind.]

221.

*Γλακτοφάγων εἰς γαῖαν ἀπήναις οἰκί' ἐχόντων.*

Strab. VII p. 302 Ephoro auctore usus narrat *εἶναί τινας τῶν νομάδων Σκυθῶν γάλακτι τρεφομένους ἵππων τῇ τε δικαιοσύνῃ πάντων διαφέρειν· μεμνῆσθαι δ' αὐτῶν τοὺς ποιητάς, .... Ἡσίοδον δ' ἐν τῇ καλουμένῃ γῆς περιόδῳ τὸν Φινέα ὑπὸ τῶν Ἁρπυιῶν ἄγεσθαι „γλακτοφάγων — ἐχόντων"*.

222.

*Αἰθίοπας τε Λίγυς τε ἰδὲ Σκύθας ἱππημολγούς.*

Strab. VII p. 300: *πῶς οὖν ἠγνόει τοὺς Σκύθας ὁ ποιητής, ἱππημολγοὺς καὶ γαλακτοφάγους τινὰς προσαγορεύων; ὅτι γὰρ οἱ τότε τούτους ἱππημολγοὺς ἐκάλουν, καὶ Ἡσίοδος μάρτυς ἐν τοῖς ὑπ' Ἐρατοσθένους παρατεθεῖσιν ἔπεσιν „Αἰθ. — ἱππημολγούς"*.

223.

Herodot. IV, 32: *ἀλλ' Ἡσιόδῳ μέν ἐστι περὶ Ὑπερβορέων εἰρημένα, ἔστι δὲ καὶ Ὁμήρῳ ἐν Ἐπιγόνοισι κτλ.*

224.

Schol. vet. ad Aesch. Prom. 803 Dind.: *Πρῶτος Ἡσίοδος ἐτερατεύσατο τοὺς γρῦπας.*

---

Fragm. CCXXI. *ἐς γαῖαν* Lehrs quaest. ep. p. 261.

Fragm. CCXXII. *Λίγυς τε ἰδὲ*] *λιγυστὶ δὲ* codd. Strab. *Λίβυάς τ' ἠδὲ* Cor. omisso *τε* post *Αἰθίοπας*, quod alii quoque eiiciendum censuerunt. *Αἰθ. Λίγυάς τ' ἠδὲ* Heins. *Λίβυάς τ' ἠδὲ* Clericus. Aliorum tentamina v. ap. Marcksch. Nos cum Kramero *Αἰθίοπάς τε ἰδὲ* scripsimus. *Λίγυς* Lehmanno, *τε ἰδὲ* Naekio (ad Choer. p. 124) debetur.

225.

*Δωδώνην φηγόν τε, Πελασγῶν ἕδρανον, ἦεν.*
Strab. VII p. 327: *οἱ δὲ Πελασγοὶ τῶν περὶ τὴν Ἑλλάδα δυναστευσάντων ἀρχαιότατοι λέγονται· καὶ ὁ ποιητής φησιν οὕτω*[1] „*Ζεῦ ἄνα Δωδωναῖε, Πελασγικέ*, *ὁ δ' Ἡσίοδος* „*Δωδώνην — ἦεν*". — Cf. fragm. 150.

226.

Schol. Ven. A ad Hom. Il, *I*, 246: *σημειοῦνταί τινες ὅτι τὴν ὅλην Πελοπόννησον οὐκ οἶδεν ὁ ποιητής, Ἡσίοδος δέ.*

227.

Eustath. ad Hom. Od. *α*, 370 p. 1424, 6 Rom. 65 Bas. *Ὅτι δ' ἐντεῦθεν λαβὼν Ἡσίοδος καὶ τὰ Μέγαρα τὴν χώραν σκιόεντα ἔφη, ὁ Πορφύριος δηλοῖ.*

228.

*Πίσσης τε δνοφερῆς καὶ κέδρου νηλέι καπνῷ.*
Schol. ad Tzetz. *περὶ μέτρων* in Cram. Anecd. Oxon. III p. 318 not. *Τὰ τετρασύλλαβα μέτρα καὶ τὸ ἡρῷον μονοποδίᾳ διποδίᾳ μετροῦνται παρὰ τὸν Ἡφαιστίωνα· ἰαμβικὸς Ἡσιόδου διὰ τὰς κοινὰς δὲ εὕρηται καὶ ἡρῷος·* „*πίσσης — καπνῷ*". Hic versus exstat etiam in Schol. Hephaest. Cod. Bodl. Auct. T. IV, 9 olim Saibant. [Westphal Scriptt. metrr. grr. I p. 121].

---

Fragm. CCXXV. Vulgo *ἧεν*. Casaub. *ἧκεν*. Boisson., quem secuti sunt recentiores, *ἦεν*.

1) Il. *Π*, 233.

229.

*Πολλὰ δ' ἀπὸ χλωρῶν δενδρέων ἀμύοντα χαμᾶζε.*

Gramm. in Cram. Anecd. Oxon. I p. 85: *Ἀσφάραγος ἡ ἀρτηρία· παρὰ τὸ σφαραγεῖν· τὸ δὲ ᾱ κατὰ πλεονασμόν, ὡς τὸ στεροπή παρὰ τὴν στέρησιν τῆς ὄψεως, καὶ ἀστραπή· καὶ ἀμύειν δὲ τὸ ἐπιπεπτωκέναι· „πολλὰ — χαμᾶζε", ἀντὶ τοῦ μύοντα.* Hunc versum Hesiodi esse ex aliis testimoniis discimus, veluti [Herodian.[1]) in] Etym. M. p. 430, 57. Etym. Florent. ap. Miller Mélanges p. 150. Phavor. ecl. p. 230, 23 [fol. 73. b. Ald.]. Cf. Etym. Gud. p. 559, 57 sqq.

230.

*Αὐτὸς δ' ἐν πλήσμησι διιπετέος ποταμοῖο.*

Schol. Laur. ad Apoll. Rhod. I, 757: *διαφέρει πλήμνη καὶ πλήσμη· ἡ μὲν γὰρ τὴν χοινικίδα σημαίνει τοῦ τροχοῦ, ἡ δὲ πλήσμη τὴν πλήμμυραν τοῦ ποταμοῦ. διόπερ παρ' Ἡσιόδῳ οὕτως ἀναγνωστέον „αὐτὸς — ποταμοῖο", καὶ οὐχ ὥς τινες „ἐν πλήμνῃσι", εἰ μὴ ἄρα ἔξωθεν προσλάβοιμεν τὴν σὺν πρόθεσιν, σὺν πλήμνῃσιν.*[2]) Haec de Ulixe naufragium passo et ad Phaeacum insulam natante intellexit Lehmann.

231.

*Ὡς ἀκαλὰ προρέων ὡς ἀβρὴ παρθένος εἶσιν.*

Steph. Byz. v. *Παρθένιος· ποταμὸς ἐν μέσῳ τῆς Ἀμαστριανῶν πόλεως ῥέων. ἐκλήθη δ' ἐκ τοῦ συνεχῶς*

---

Fragm. CCXXIX. *χαμάζε* Etym. M. Flor. cum Cram. Anecd.; corr. Marcksch.

1) Vol. II p. 172 Lentz. 2) „E verbis postremis colligi potest, *αὐτὸς δὲ πλήσμησι* scriptum fuisse". Marcksch.

περὶ αὐτὸν τὴν παρθένον Ἄρτεμιν κυνηγετεῖν, ἢ διὰ τὸ ἠρεμαῖον καὶ παρθενῶδες τοῦ ῥεύματος· „ὡς — εἰσιν“.

Etym. M. p. 44, 35. Cod. Voss.: ἐκ τοῦ ἀκαλὸς οὖν γίνεται ἀκαλά, ὡς ὁμαλὸς ὁμαλά, ὡς παρ' Ἡσιόδῳ „ἀκαλὰ προχέων“ (in marg. γρ. προρρέων) ἀντὶ τοῦ ἡσύχως. Locum indicavit Dilthey de Callimachi Cydippa (Lips. 1863) p. 40.

232.

Eustath. ad Il. Ψ, 148 p. 1293, 25 Rom. 1403 Bas. Ἐς πηγὰς δὲ ἱερεύονται μῆλα διὰ τὸ αὐτὰς γονίμους εἶναι τοῦ ὅλου ποταμοῦ, ἔτι δὲ καὶ τιμίας ἀρχικῷ λόγῳ, καθὰ παραδηλοῖ καὶ Ἡσίοδος.

233.

Ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ
μέλπομεν, ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ.

Schol. ad Pind. Nem. II, 1: Φιλόχορος δὲ ἀπὸ τοῦ συντιθέναι καὶ ῥάπτειν τὴν ᾠδὴν οὕτω φησὶν αὐτοὺς (sc. τοὺς ῥαψωδοὺς) προσκεκλῆσθαι· δηλοῖ δὲ Ἡσίοδος λέγων· „ἐν — Λητώ“. V. 1—2 laudat Eustath. ad Il. p. 6, 14 sq. Rom. 5 Bas.

234.

Νήπιος, ὃς τὰ ἕτοιμα λιπὼν ἀνέτοιμα διώκει.

Schol. ad Theocr. XI, 75 et Orio anthologn. (Schneidew.

---

Fragm. CCXXXIV. ὃς τὰ ἕτοιμα] ὅς τά γ' ἑτοῖμα Boeckh., ὅστις ἕτοιμα Gaisf. — ἀνέτοιμα] Sic Plut. Schol. Pind. Orio; τὰ ἀνέτοιμα Schol. Theocr. (τ' ἀνέτ. vulg.), τἀνέτ. Kiessl.

Coni. crit. p. 44): Ἡσίοδος· „νήπιος — διώκει". Versum sine auctoris nomine afferunt Schol. ad Pind. Pyth. III, 38. Plut. moral. p. 505 D.

235.

Ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων.

Harpocr. v. ἔργα νέων· τοῦτο καὶ Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους Ἡσιόδου φησὶν εἶναι· παροιμία τίς ἐστιν, ἣν ἀνέγραψε καὶ Ἀριστοφάνης ὁ γραμματικὸς οὕτως ἔχουσαν· „ἔργα — γερόντων". Eadem fere narrat Apostol. IX, 6 Pant. (VII, 90 [Vol. II p. 419 Leutsch]). Cf. Phot. v.; Strab. XIV p. 674 sq.

236.

Δῶρα θεοὺς πείθει, δῶρ' αἰδοίους βασιλῆας.

Plato de Republ. III p. 390 E: οὐδ' ᾀστέον αὐτοῖς ὅτι „δῶρα — βασιλῆας". Suid. v. δῶρα [Vol. I, 1 p. 1448 Bernh.]. „δῶρα — βασιλῆας". οἱ μὲν Ἡσιόδειον οἴονται τὸν στίχον.

237.

Εἴ κε πάθοι τά κ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο.

Aristot. Eth. Nic. V, 8 p. 1132$^{b}$ 25: Τὸ δ' ἀντιπεπονθὸς οὐκ ἐφαρμόττει οὔτ' ἐπὶ τὸ διανεμητικὸν δίκαιον οὔτ' ἐπὶ τὸ διορθωτικόν· καίτοι βούλονταί γε τοῦτο λέγειν καὶ τὸ Ῥαδαμάνθυος· „εἴ κε — γένοιτο", ubi Mich. Ephes. p. 67$^{b}$: ἔστι δὲ τὸ ἔπος ἀπὸ τῶν Ἡσιόδου. — „Laudavit tanquam Aeaci sine auctoris nomine

Fragm. CCXXXVI. δῶρ' αἰδ.] καὶ αἰδ. Suid.

Fragm. CCXXXVII. αἴκε πάθῃ τά κ' ἔρ. Schol. Aesch. — τά κ' ἔρεξε] τά γ' ἔρεξε Prov. Coisl., τά τ' ἔρεξε Schneidew. coni. crit. p. 69. — δίκη δ' ἰθ. Schol. Aesch. Prov. Coisl. τ' ἰθ. Iul.

Seneca Lud. de morte Claudii 14: Aeacus, homo iustissimus, vetat. Illum altera tantum parte audita condemnat et ait: „εἴκε π. — γένοιτο“. Goettl. — Versum afferunt praeterea Iulian. Caes. p. 314. Schol. ad Aesch. Suppl. 436. Prov. Coisl. 132 Gaisf.

238.

Ὥς κε πόλις ῥέζησι, νόμος δ' ἀρχαῖος ἄριστος.

Porphyr. de abstin. II, 18 p. 134 (93 Nauck): καὶ τὸν Ἡσίοδον οὖν εἰκότως τὸν τῶν ἀρχαίων θυσιῶν νόμον ἐπαινοῦντα εἰπεῖν „ὥς κε — ἄριστος“.

239.

Χρὴ δέ σε πατρὶ ..... κτίλον ἔμμεναι.

Schol. ad Nic. Ther. 452: τὰ κτίλα ἐπὶ τῶν ἡμέρων καὶ τιθασσῶν τίθεται ..... καὶ Ἡσίοδος· „χρὴ — ἔμμεναι“.

240.

Ὃ εἰπόντος μὲν ἐμεῖο
φαῦλόν κεν δόξειεν ἔμεν, χαλεπὸν δὲ νοῆσαι.

Ps.-Plat. Epist. XI (ad Laodamantem) p. 358 sq. Steph. (528 Herch.): συμβουλεῦσαι μέντοι ἔχω σοί τε καὶ τοῖς οἰκισταῖς, ὃ εἰπόντος μὲν ἐμοῦ, φησὶν Ἡσίοδος, δόξαι ἂν εἶναι φαῦλον, χαλεπὸν δὲ νοῆσαι.

---

Fragm. CCXL. „Facile erit versiculum restituere ita: Ὃ εἰπόντος μὲν ἐμεῖο | φαῦλόν κεν δόξειεν ἔμεν, χαλεπὸν δὲ νοῆσαι. Significaveram hoc fragmentum ut praetermissum in Diario classico Marburgensi A. 1846. N. 143. p. 1143., sed non satis accurate. Vestigia verborum Platonicorum fortasse quis pressius legerit sic scribendo: δόξειέν κεν φαῦλον ἔμεν κ. τ. ἑ. Sed melius erit φαῦλον initio collocare“. Goettl. opuscc. academm. p. 193.

241.

ἄγαλμα.

Suid. v. ἀγάλματα [I, 1 p. 41 Bernh.]· τὰ τῶν θεῶν μιμήματα, καὶ πάντα τὰ κόσμου τινὸς μετέχοντα ........ καὶ Ἡσίοδος τὸν ὅρμον ἄγαλμα καλεῖ.

242.

ἀπτερέως.

Herodian. περὶ παθῶν [II p. 230 Lentz.] in Etym. M. p. 133, 34: ἀπτερέως παρ' Ἡσιόδῳ ὥσπερ τὸ ἀψοφέως. σημαίνει δὲ τὸ αἰφνιδίως.

243.

ἄρκυς.

Etym. Gud. v. ἄρκυς (p. 78, 20): εἶδος δικτύου ἐκ παχέος σχοινίου, ὃ ἱστᾶσι πρὸς θήραν λεόντων ἢ ἄρκτων ἢ ἐλάφων. καὶ δασύνεται, ἐκ τοῦ εἴργω τὸ κωλύω, τροπῇ τῆς ει διφθόγγου εἰς α. Ἡσίοδος. Cf. Etym. M. v. ἄρκυς (p. 144, 9). Cram. Anecd. Oxon. II p. 336. 427. Fragmentum affert Goettl. Opuscc. acadd. p. 197.

244.

ἄφυζαν.

Schol. Ven. A ad Hom. Il. Φ 528 πεφυζότες] ὅθεν ἄφυζαν τὸν λέοντα Ἡσίοδός φησιν. Cf. Schol. cod. Ven. B: ἀπὸ τοῦ φύζα· ὅθεν ἄφυζαν Ἴωνες ἐκάλουν τὸν λέοντα.

---

Fragm. CCXLIV. ἄφυζον Isler Quaest. Hes. p. 18.

245.

βρῖ.

Strab. VIII p. 364: παραδείγμασι δὲ χρῶνται τοῦ μὲν ποιητοῦ τῷ κρῖ καὶ δῶ καὶ μάψ ...... Ἡσιόδου δέ, ὅτι τὸ βριθὺ καὶ βριαρὸν βρῖ λέγει.

246.

ὅτων.

Schol. ad Philostr. Heroic. ap. Boiss. p. 464: Ἰστέον ὅτι ὅτου καὶ οὗτινος εὑρίσκεται καὶ ὅτῳ καὶ ᾧτινι, γενικῇ καὶ δοτικῇ μόνως· αἱ δὲ ἄλλαι πτώσεις οὐκ ἐν χρήσει εἰσίν. εὑρίσκεται δὲ καὶ παρ' Ἡσιόδῳ μόνῳ καὶ γενικὴ τῶν πτώσεων πληθυντικῶν ἐν χρήσει, ὅτων ἀντὶ τοῦ[1]) ὧντινων. Phavor. Lex. p. 558, 6 [1390, 7 ed. Bas.] καὶ ὅτων ἀντὶ τοῦ ὧντινων παρα Ἡσιόδῳ μόνῳ εὕρηται ἐν χρήσει.

247.

πρόκριν.

Cram. Anecd. Oxon. I p. 46: Ἡσίοδος δὲ τὸ πρόκριν παρὰ τὸ κρίσις, πρόκρισις, πρόκρισιν καὶ ἐν συγκοπῇ πρόκριν[2]).

248.

τέττορες.

Phavorin. Ecl. p. 421, 31: τέττορας δωρικῶς λεχθέν, οὗ εὐθεῖα κεῖται παρ' Ἡσιόδῳ.

---

1) ἀντὶ τοῦ] καὶ Schol. 2) Cf. Schneidew. exercitt. critt. p. 27: „Hoc incredibile censeo — nolim enim ad illud decantatum magis quam intellectum ἀνέρα ὕβριν decurrere — suspicarique pronum est, poetam Hesiodeum in explicatione fabulae Procridis nomen ipsi a προκρίσει inditum dixisse: nam teste Apollod. III, 15, 1 Pteleonta marito πρὔκρινε. Scio Hesiodum decurtatis formis delectari; quarum alia est ratio".

249.

Strab. XIII p. 587 de Priapo: Ἀπεδείχθη δὲ θεὸς οὗτος ὑπὸ τῶν νεωτέρων· οὐδὲ γὰρ Ἡσίοδος οἶδε Πρίαπον.

250.

Schol. Harl. Ambr. ad Hom. Od. τ, 34 λύχνον] λέγει δὲ τὴν δᾷδα κυρίως. τοῦ δὲ παρ' ἡμῖν καλουμένου λύχνου τοὺς ἥρωας χρωμένους ὁ ποιητὴς οὐκ εἰσάγει οὐδὲ[1]) Ἡσίοδος μέμνηται.

251.

Argum. ad Soph. Oed. R. p. 4 Herm. [Schol. Soph. Vol. II p. 13 Dind.] Ὅτι δὲ νεώτερον τὸ τοῦ τυράννου ὄνομα δῆλον· οὔτε γὰρ Ὅμηρος οὔτε Ἡσίοδος οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει.

---

## FRAGMENTA DUBIA.

[252.]

*Ἀσπληδὼν Κλύμενός τε καὶ Ἀμφίδοκος θεοειδής.*

(Herodian. περὶ καθολ. προσῳδ. [I p. 26 Lentz.] ap.) Steph. Byz. v. Ἀσπληδών· Ὀρχομενοῦ δὲ υἱεῖς „Ἀσπληδὼν — θεοειδής". Unde hausit Eustath. ad Il. p. 272, 18 Rom. 206 Bas. — Versum Hesiodo tribuunt Herm. et Buttmann de Minyis. Comment. Acad. Berol. a. 1820—21, p. 178 not.

1) οὐδὲ] Sic Dind. pro καὶ οὔτε.

[253.]

*Φοῖβον ὕδωρ ἐπάγων κέρασ' Ὠκεανοῖο ῥοῇσι.*

Apollon. Lex. Hom. v. *Φοῖβος* (p. 164 Bekk.)· . . . *φοῖβον δὲ κατὰ γλῶτταν τὸ καθαρόν, ὡς καὶ Ἡλιόδωρος*[1]). „*φοῖβον — ῥοῇσι*“.

[254.]

Phlegon Trall. Mirab. cap. IV. p. 74 Xyl. [73 Keller]: *Ἱστορεῖ δὲ καὶ Ἡσίοδος καὶ Δικαίαρχος καὶ Κλέαρχος καὶ Καλλίμαχος καὶ ἄλλοι τινὲς περὶ Τειρεσίου τάδε.* Iam enarrata illa fabula (cf. fragm. 179), cap. V. p. 75 Xyl. (74 Kell.) sic pergit: *Οἱ αὐτοὶ ἱστοροῦσιν κατὰ τὴν Λαπιθῶν χώραν γενέσθαι Ἐλάτῳ τῷ βασιλεῖ θυγατέρα, ὀνομαζομένην Καινίδα· ταύτῃ δὲ Ποσειδῶνα μιγέντα ἐπαγγείλασθαι ποιήσειν αὐτὴν ὃ ἂν ἐθέλῃ, τὴν δὲ ἀξιῶσαι μεταλλάξαι αὐτὴν εἰς ἄνδρα, ποιῆσαί τε ἄτρωτον. τοῦ δὲ Ποσειδῶνος κατὰ τὸ ἀξιωθὲν ποιήσαντος μετονομασθῆναι Καινέα.*

[255.]

*Καὶ ἀτασθαλίῃσι νόοιο.*

Etym. Gud. p. 88, 45 v. *ἀτασθαλία· ἡ περὶ τὸν οἶνον ἀταξία·* „*καὶ — νόοιο*“, *οὕτως ἐν Ἡσιόδῳ.*

Etym. autem M. (p. 162, 35) haec habet: *ἀτασθαλία· ἁμαρτία, ἀδικία· κυρίως μὲν ἡ παρὰ τὴν θάλειαν ἄτη, βλάβη, ὡς παροινία ἡ παρὰ τὸν οἶνον ἀταξία. ἢ παρὰ τὸ τῇ ἄτῃ θάλλειν καὶ αὐξάνεσθαι. Ὅμηρος,* „*κεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο*“ (Il. Δ 409). Etym. Sorb. ap. Gaisf. Etym. M. p. 463 D:

---

Fragm. CCLIII. *κέρασ'*] Sic Bekker ci.; *κέρας* vulgo.
1) *Ἡσίοδος* Villois.

ἀτασθαλία· ἡ περὶ τὸν οἶνον ἀταξία. καὶ Ὅμηρος, ἀτασθαλίῃσιν νόοιο.

Etym. Gud. „respicit forte Opp. 683 (685) ubi „ἀϊδρείῃσι νόοιο“ Gaisf.

[256.]

*Μηδὲ δίκην δικάσῃς, πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς.*

Cic. ad Att. VII, 18: Ego autem, etsi illud ψευδησιόδειον — ita enim putatur — observo, μηδὲ δίκην, praesertim in te, a quo nihil unquam vidi temere fieri, tamen illius querela movebar. — Plut. moral. p. 1034 E: πρὸς τὸν εἰπόντα· „μηδὲ — ἀκούσῃς“, ἀντέλεγεν ὁ Ζήνων κτλ. — Schol. ad Eur. Hipp. 264: Τὸ „μηδὲν ἄγαν“ οἱ μὲν Χίλωνι τῷ Λακεδαιμονίῳ ἀνατιθέασιν, ὡς Κριτίας ........ ὁ δὲ Θεόφραστος, ὡς τὰ Σισύφου λεγόμενα καὶ Πιτθέως, οἷον „μηδὲν ἄγαν“, „μηδὲ δίκην δικάσῃς“. — Lucian. de calumn. non tem. cred. 8. (Vol. III p. 271 Iacob.) — Alia testimonia congessit Schneidewin de Pittheo Troez. comment. p. 7.

[257.]

Grammaticus in Bachm. Anecd. Gr. II p. 247: Πρῶτος Ἡσίοδος παρὰ τῆς Ἑλένης τὸ εἴδωλον παρήγαγε. Legendum videtur πρῶτος Στησίχορος κτλ.; cf. tamen Bergk. Poett. lyrr. Grr. Ed. III. [P. III] p. 981.

[258.]

Aristot. Hist. Anim. VIII, 18, 2 p. 601ᵃ 31 sqq. Τὰ μὲν οὖν γαμψώνυχα, καθάπερ εἴρηται πρότερον,

---

Fragm. CCLVI. μήτε Luc. ἂν om. Wyttenb. c. Luc. — ἀμφοῖν] ἄμφω Luc. probante Schneidew.

ὡς ἁπλῶς εἰπεῖν, ἄποτα πάμπαν ἐστίν (ἀλλ' Ἡσίοδος[1]) ἠγνόει τοῦτο· πεποίηκε γὰρ τὸν τῆς μαντείας πρόεδρον ἀετὸν ἐν τῇ διηγήσει τῇ περὶ τὴν πολιορκίαν τὴν Νίνου πίνοντα).

De celeberrima obsidione urbis sermo esse videtur. Quae quum ad a. 606 a. Chr. n. referatur, ab Hesiodi nostri aetate remota est.

[259.]

Phot. Bibl. p. 535$^{b}$, 38 Bekk. Τὸ δὲ κνισᾷν ἀγυιὰς παρὰ Ἡσιόδῳ τοῖς θεοῖς θύειν λέγει. Hesiodum cum Aristophane commutasse videtur auctor. Cf. Av. 1233: κνισᾶν τ' ἀγυιάς. Eq. 1320: κνισῶμεν ἀγυιάς. Marcksch. p. 384 sq.

[260.]

Ἑβδομάτῃ δ' αὖθις λαμπρὸν φάος ἠελίοιο.

Clem. Alex. Strom. V p. 256 (600 C) Sylb. 713 Pott. Ἡσίοδος μὲν οὕτως περὶ αὐτῆς (sc. τῆς ἑβδόμης ἡμέρας) λέγει· „πρῶτον ἕνη τετράς τε καὶ ἕβδομον ἱερὸν ἦμαρ" (Opp. 770) καὶ πάλιν „ἑβδομάτῃ — ἠέλιοιο".

Hic versus ab Aristobulo philosopho Iudaeo profectus videtur. Cf. Hom. fragmenta falsa p. 75 coll. Valckenaer. diss. de Aristobulo Iudaeo p. 116 sqq. Hermann autem versum diversae Operum ac Dierum recensionis esse iudicat.

[261.]

Serv. ad Verg. Aen. IV, 484 p. 296 Lion. Hesiodus

---

1) Ἡρόδοτος Cod. D$^{a}$ (Vat. 262) ap. Bekk.; Ἡσίοδος reliqui. Cf. Dahlmann Forschungen auf dem Gebiete der Geschichte, II p. 229. Müller Hist. litt. Graec. I p. 483 not.

has Hesperidas Aeglem, Arethusam et Hesperusam[1]), Noctis filias, ultra Oceanum mala aurea habuisse dicit.

Cf. Theog. 215 sq. „Nomina ista Servius ipsa addere ex alio fonte poterat". Goettl. ad Th. 215. Recte.

[262.]

Pollux I, 231: *Καὶ φυλλοχόος μὴν ὁ ταῦτα ποιῶν, ὡς Ἡσίοδος.* Ad Opp. 421 (*ὕλη, φύλλα δ' ἔραζε χέει*) pertinere videtur.

[263.]

Pollux III, 19: *Ἀγαπητὴ θυγάτηρ ἡ μονογενὴς καθ' Ἡσίοδον.* Sed cf. Opp. 376 sq. *μουνογενὴς δὲ πάις εἴη πατρώιον οἶκον | φερβέμεν.*

Frr. 262. 263 affert Goettl. opuscc. acadd. p. 193.

[264.]

*Ὑπερβασίαι δ' ἀλεγειναί.*

Eustath. ad Il. p. 1318, 6 Rom. 1437 Bas. *Τὸ ὑπερβαίνειν καὶ ἡ ἐξ αὐτοῦ ὑπερβασία, ἧς καὶ παρ' Ἡσιόδῳ χρῆσίς ἐστιν ἐν τῷ „ὑπερβασίαι δ' ἀλεγειναί".* Spectari videtur Opp. 828 *ὑπερβασίας ἀλεείνων*, ubi cf. Goettl.

---

## FRAGMENTA FALSA.

Fragmenta falsa collegit Marckscheffel p. 386—394 editionis suae. Quibus nunc addenda:

1. Fr. 23 Marcksch. = 114 Goettl. e Steph. Byz. v. *Αἰσών· πόλις Θεσσαλίας, ἀπὸ Αἴσωνος τοῦ Ἰάσονος πατρός, οὗ τὸ ὄνομα*

---

1) Hesperusam] Fort. Hesperethusam. Cf. Apollonii Rhod. fragmentum a Schol. ad Clem. Alex. (Vol. IV p. 100 Kl.) allatum: *παρ' Ἑσπερίδων. Ἑσπερίδες νύμφαι τινὲς νόμιοι*

διὰ τοῦ ω κλίνεται. τὸ δὲ Αἰσονίδης, ὡς Ἡσίοδος [sic Meineke; ὡς Ἡσίοδος. τὸ δὲ Αἰσ. vulgo], ἀπὸ τοῦ „Αἴσονά τ' ἠδὲ Φέρητα" (Hom. Od. λ 259). — Αἰσονίδης exstat Theog. 993.

2. Fr. 30 Marcksch. = 46 Goettl. Ps.-Sanchuniathon p. 5 sq. Wagenfeld. Καὶ γὰρ περὶ ἐνίων, ὧν οὐδὲ (οὔδε Wagenf.) τὰ ὀνόματα ἴσασιν οἱ Φοίνικες, οὔτ' Ἀγήνορος οἱ Σιδόνιοι, οὔθ' (οὔτ' Wag.) οἱ Βύβλιοι τοῦ Βάλαντος, ὃν φασιν οἱ ποιηταὶ „Βύβλον τ' ἀγχίαλον καὶ Σιδῶν' ἀνθεμόεσσαν | νικῆσαι (νίκησαι Wag.) τρικάρηνον" κτλ. Prior versus, quem Hesiodo tribuit Etym. M. p. 216, 36 [Ἡσίοδος ἐν Ἀσπίδι codd. nonnulli ap. Gaisf.], apud Dionys. Per. [v. 912] legitur; hemistichium autem (νικῆσαι τρικάρηνον) falsarium de suo addidisse hodie constat.

3. Fragm. 66 Marcksch. = 196 Goettl. Strab. I p. 59: Καὶ ἡ πρότερον δὲ Ἀρτεμίτα λεγομένη μία τῶν Ἐχινάδων νήσων ἤπειρος γέγονε ...... συγχοῦνται δὲ καὶ αἱ λοιπαί, ὡς Ἡρόδοτός (II, 10) φησι. Legebatur Ἡσίοδος; corr. Meineke.

4. Fragm. 126 Marcksch. (Schol. ad Apoll. Rhod. I, 747.) Ad Scut. v. 1 sqq. spectat.

5. Fragm. 199 Marcksch. = 18 Goettl. Plin. N. H. XXI, 17 § 108: Asphodelus manditur et semine tosto et bulbo ........ praecipua voluptate, ut videtur Hesiodo [= Theophr. de hist. plant. VII cap. 11 St. (13, 3 Wimmer)]. Ad Opp. 41 pertinet. Cf. Marcksch. p. 447.

6. Fragm. 228 Marcksch. Cram. Anecd. Oxon. I p. 55: Σεσημείωται παρ' Ἡσιόδῳ τὸ εὐθύνεον, ὡς ἐνόεον, ἢ πλεονασμῷ τοῦ ε̄, ἢ μεταβολῇ τοῦ ν̄ν̄ κτλ. Leg. ἐθύνεον, quod invenitur Scut. 156. 210. 257. 286.

7. Fragm. 246 Marcksch. = 239 Goettl. Etym. M. (Sylb.) v. πλειότερος ....... [p. 675, 22] πλεῖος οὖν καὶ πλειότερος. ἡμάρτηται δὲ ὁμολογουμένως τὸ „πολὺ χερειότερον" (Opp. 127; leg. χειρότ.) παρὰ Ἡσιόδῳ ....... καὶ εἰ ὅλως ὤφειλεν εἰπεῖν, χειρονέστερον ὤφειλεν. ἴσως οὖν ὁ Ἡσίοδος παρὰ τὸ χεῖρος τοῦτο ἐποίησεν, ὡς ἀπὸ τοῦ πλεῖος τὸ πλειότερος. [Τί οὖν Ἡσίοδος; ἴσως παρὰ τὸ χεῖρος ed. Gaisf.] Cf. Phav. Ecl. p. 368, 8.

Hunc locum perperam intellexerunt vv. docti. — Etymologi, me iudice, mens est haec: Sicut πλειότερος (a πλεῖος) poetae nonnulli (inter quos Callimachus; v. paullo supra) usurparunt, sic Hesiodus χειρότερος (a χεῖρος derivatum) excogitavit.

8. Fragm. 253 Marcksch. Suid. v. κομιδή (II, 1 p. 326

---

οὕτω λεγόμεναι, αἱ φυλάττουσαι τὰ λεγόμενα χρύσεα μῆλα· ἡ δὲ Ἐρύθεια καὶ Ἑσπερέθουσα βοῶπις, ὥς φησιν Ἀπολλώνιος ὁ Ῥόδιος.

Bernh.), ubi hodie legitur: ἡ ἀνάσωσις. Ἡρόδοτος. λέγεται δὲ καὶ ἡ ἄφιξις, ἡ δίοδος (vulgo Ἡσίοδος). Πολύβιος κτλ.

9. Fragm. 254 Marcksch. Nic. Ther. v. 8—12, ubi cf. Schol.

---

De carminibus errore ad Hesiodum relatis (1. Γῆς περίοδος, — 2. Θεῖοι λόγοι, — 3. Ὕμνοι, — 4. Κεραμεῖς, — 5. Φοινικικά [cf. Cram. An. Par. I p. 14], — 6. Περὶ ταρίχων) disputavit Marckscheffel pp. 197—202.

---

## EUMELUS.

Paus. II, 1, 1: Εὔμηλός γε ὁ Ἀμφιλύτου τῶν Βακχιδῶν καλουμένων, ὃς καὶ [τὰ] ἔπη λέγεται ποιῆσαι, φησὶν ἐν τῇ Κορινθίᾳ συγγραφῇ, εἰ δὴ Εὐμήλου [γε] ἡ συγγραφή, κτλ. Cf. V, 19, 10 (2): Εὔμηλον τὸν Κορίνθιον.

Athen. VII p. 277 D: Ὁ τὴν Τιτανομαχίαν ποιήσας, εἴτ' Εὔμηλός ἐστιν ὁ Κορίνθιος ἢ Ἀρκτῖνος κτλ. Cf. Laur. Lyd. de mens. IV, 48. Hygin. fab. 183. Eudoc. p. 294. Tzetz. ad Lycophr. 174. ad Hes. Opp. 1 p. 23 Gaisf. [25, 14 ed. Lips.].

Schol. ad Pind. Ol. XIII, 74: Εὔμηλός τις ποιητὴς ἱστορικός.

Clem. Alex. Strom. I p. 144 (333 B) Sylb. 398 Pott. Σιμωνίδης μὲν οὖν κατὰ Ἀρχίλοχον φέρεται, Καλλῖνος δὲ πρεσβύτερος οὐ μακρῷ, ....... Εὔμηλος δὲ ὁ Κορίνθιος πρεσβύτερος ὢν ἐπιβεβληκέναι Ἀρχίᾳ τῷ Συρακούσας κτίσαντι [a. 734 a. Chr. n.].

Hieron. Eus. Chron. ad Ol. IV, 2 (p. 115 Scalig. 81 Schoen.): Eumelus poeta qui Bugoniam et Europiam ........ conposuit ...... agnoscitur. Cf. ad Ol. IX, 2 (p. 83 Sch.): Eumelus Corinthius versificator agnoscitur.

Eumelo tribuuntur

1. *Κορινθιακά.* — Schol. ad Apoll. Rhod. I, 146: *Ἐν Κορινθιακοῖς λέγει Εὔμηλος* coll. Paus. II, 1, 1 (v. supra): *Εὔμηλος ........ φησὶν ἐν τῇ Κορινθίᾳ συγγραφῇ.*

Versus octo ex hoc carmine depromptos servavit Schol. ad Pind. Ol. XIII, 74 (unde hausit Tzetz. ad Lycophr. 174). Cf. praeterea fragm. 9.

Eumeli carmen de rebus Corinthiorum postea in orationem solutam translatum esse constat; Pausaniam autem aliosque scriptores non carmine ipso, sed epitome tantum eaque oratione pedestri conscripta usos esse Wilisch ostendit. De hac epitome capienda sunt verba Clementis Alex. Strom. VI p. 267 (629 A) Sylb. 752 Pott. *Τὰ δὲ Ἡσιόδου μετήλλαξαν εἰς πεζὸν λόγον καὶ ὡς ἴδια ἐξήνεγκαν Εὔμηλός τε καὶ Ἀκουσίλαος οἱ ἱστοριογράφοι.* — Cf. Marckscheff. p. 223 sqq. Wilisch p. 4 sqq.

2. *Εὐρωπία.* — Schol. Ven. A ad Hom. Il. Z, 131: *Ὁ τὴν Εὐρωπίαν πεποιηκὼς Εὔμηλος.* Hieron. Eus. Chron. ad Ol. IV, 2. Cf. Clem. Alex. Strom. I p. 151 (349 A) Sylb. 419 Pott. *Ὁ τὴν Εὐρωπίαν ποιήσας.* Pausan. IX, 5, 8 (4): *Ὁ δὲ τὰ ἔπη τὰ ἐς Εὐρώπην ποιήσας.* — Marckscheff. p. 235 sqq. Wilisch p. 27 sqq.

3. *Τιτανομαχία.* Cf. p. 6—8. — Marcksch. p. 244. Wilisch p. 4.

4. *Ἆισμα προσόδιον.* Cf. infra. — Marcksch. p. 243 sq. Wilisch p. 4.

5. *Βουγονία.* Hieronymi loc. supra allatus. Cf. Varr. de re rust. II, 5. Marcksch. p. 239 sqq. Wilisch p. 3.

6. *Νόστος τῶν Ἑλλήνων.* Schol. ad Pind. Ol. XIII, 31: ἐν δὲ Μοῖσ' ἁδύπνοος] Ποῦ δὲ ἀλλαχοῦ ἡ μουσικὴ ἀνθεῖ καὶ τὰ πολεμικά; τοῦτο δὲ διὰ τὸν Εὔμολπον ὄντα Κορίνθιον καὶ γράψαντα νόστον τῶν Ἑλλήνων. Pro Εὔμολπον *Εὔμηλον* scribendum esse plures viderunt. — Marcksch. p. 217. 244 sq. Wilisch p. 3 sq. — Fortasse huc pertinent versus p. 55 allati (fr. 6).

---

Subsidia. Welcker Cycl. ep. I (1835) p. 274 sqq. — Marckscheffel Hesiodi, Eumeli, Cinaethonis, Asii et Carminis Naupactii Fragmenta collegit etc. G. M. Lips. 1840. p. 216—245. — E. G. Wilisch „Ueber die Fragmente des Epikers Eumelos. Lips. (Teubn.) 1875. pp. 41. 4.

---

## CORINTHIACA.

### 1.

Schol. Laur. ad Apoll. Rhod. IV, 1212: Ἐφύρα ἡ Κόρινθος, ἀπὸ Ἐφύρας τῆς Ἐπιμηθέως θυγατρός. Εὔμηλος[1]) δὲ ἀπὸ Ἐφύρας τῆς Ὠκεανοῦ καὶ Τηθύος, γυναικὸς δὲ γενομένης Ἐπιμηθέως. Paus. II, 1, 1: Εὔμηλος ........ φησὶν ἐν τῇ Κορινθίᾳ συγγραφῇ ......... Ἐφύραν Ὠκεανοῦ θυγατέρα οἰκῆσαι πρῶτον ἐν τῇ γῇ ταύτῃ.

1) Σιμωνίδης Cod. Par. Cf. Marckscheff. p. 401.

2.

Ἀλλ᾽ ὅτε δ᾽ Αἰήτης καὶ Ἀλωεὺς ἐξεγένοντο
Ἡελίου τε καὶ Ἀντιόπης, τότε δ᾽ ἄνδιχα χώρην
δάσσατο παισὶν ἑοῖς Ὑπερίονος ἀγλαὸς υἱός·
ἣν μὲν ἔχ᾽ Ἀσωπός, ταύτην πόρε δίῳ Ἀλωεῖ·
ἣν δ᾽ Ἐφύρη κτεάτισσ᾽, Αἰήτῃ δῶκεν ἅπασαν·
Αἰήτης δ᾽ ἄρ᾽ ἑκὼν Βούνῳ παρέδωκε φυλάσσειν,
εἰσόκεν αὐτὸς ἵκοιτ᾽ ἢ ἐξ αὐτοῖό τις ἄλλος
ἢ πάις ἢ υἱωνός· ὃ δ᾽ ᾤχετο Κολχίδα γαῖαν.

Schol. ad Pind. Ol. XIII, 74: *Διὰ τί Μηδείας ἐμνημόνευσεν; ὅτι ἡ Κόρινθος πατρῷον αὐτῆς κτῆμα γέγονε, τούτῳ τῷ λόγῳ. Ἀλωεὺς γὰρ καὶ Αἰήτης ὁ Μηδείας πατὴρ ἐγένοντο παῖδες Ἡλίου καὶ Ἀντιόπης· τούτοις ὁ Ἥλιος διένειμε τὴν χώραν, καὶ ἔλαχεν Ἀλωεὺς τὴν ἐν Ἀρκαδίᾳ, ὁ δὲ Αἰήτης τὴν Κόρινθον. Αἰήτης δὲ μὴ ἀρεσθεὶς τῇ ἀρχῇ Βούνῳ*[1]) *μέν τινι Ἑρμοῦ υἱῷ παρέδωκε τὴν πόλιν, εἰπὼν φυλάττειν τοῖς ἐσομένοις ἐξ αὐτοῦ· αὐτὸς δὲ εἰς Κολχίδα τῆς Σκυθίας ἀφικόμενος ᾤκησε βασιλεύων. διδάσκει δὲ τοῦτο Εὔμηλός τις ποιητὴς ἱστορικὸς εἰπών· „Ἀλλ᾽ — γαῖαν"*. — Eosdem versus e cod. Matritensi edidit Iriarte codd. Matrit. p. 263;

Fragm. II. 4. *ἔχ᾽*] *ἔναιεν* Tzetz. — *ταύτην*] *τὴν* Tz. — 5. Legebatur *Ἐφύρην*; corr. Salmas. ad Solin. p. 858. Ruhnk. Boeckh e docti auditoris coniectura. — *δῶκεν ἀνάσσειν* Ruhnk. — 6. *Βουνόμῳ* codd. nonnulli Scholl. Pind. — *φυλάττειν* Tz. — 7. *εἰσόκεν αὐτὸς ἀνὴρ εἰς ὕστερον αὖθις ἵκοιτο* Tz. — 8. *ἢ πάις ἢ υἱωνὸς*] *ἢ ἐξ αὐτοῖό τις* Tz. — Vulgo *παῖς*; *πάις* scripsi. — *ἢ υἱ.*] Legebatur *ἠδὲ* (sive *ἠδ᾽*) *υἱ.* corr. Boeckh. [sed *ἦθ᾽ υἱωνός* idem in praefat. ad Scholl. p. XX]. — *ᾤχετο*] *ἵκετο* Cod. Matr.

1) Gott. Vrat. D. *Βουνόμῳ*, „quod ex etymologico cuiusdam librarii lusu profectum videtur". Marcksch. — Cf. Schol. in Cod. Matr.: *Βουνὸς δ᾽ Ἑρμοῦ καὶ νύμφης τινὸς παῖς.*

citat praeterea Tzetz. ad Lycophr. 174. — V. 1—3 e Schol. Pind. hausit Auctor Argum. III ad Eur. Med. [Scholl. Eurip. IV p. 4 Dind.] Cf. Tzetz. ad Lycophr. 1024: *Αἶα, πόλις Κολχίδος· Κόρινθος δέ, πόλις Πελοποννήσου, ὧν ἀμφοτέρων ἄρχοντα λέγει τὸν Αἰήτην, ὥσπερ καὶ Εὔμηλος ὁ ποιητής, οὗ τὰ ἔπη ἐν τοῖς ὄπισθεν εἰρήκειν καὶ πᾶσαν τὴν ἱστορίαν ὅτι κτλ.*

3.

Paus. II, 3, 10 (8): *Εὔμηλος δὲ Ἥλιον ἔφη δοῦναι τὴν χώραν Ἀλωεῖ μὲν τὴν Ἀσωπίαν, Αἰήτῃ δὲ τὴν Ἐφυραίαν· καὶ Αἰήτην ἀπιόντα ἐς Κόλχους παρακαταθέσθαι Βούνῳ τὴν γῆν, Βοῦνον δὲ Ἑρμοῦ καὶ Ἀλκιδαμείας εἶναι, καὶ ἐπεὶ Βοῦνος ἐτελεύτησεν, οὕτως Ἐπωπέα τὸν Ἀλωέως καὶ τὴν Ἐφυραίων σχεῖν ἀρχήν· Κορίνθου δὲ ὕστερον τοῦ Μαραθῶνος οὐδένα ὑπολιπομένου παῖδα, τοὺς Κορινθίους Μήδειαν μεταπεμψαμένους ἐξ Ἰωλκοῦ παραδοῦναί οἱ τὴν ἀρχήν· βασιλεύειν μὲν δὴ δι' αὐτὴν Ἰάσονα ἐν Κορίνθῳ, Μηδείᾳ δὲ παῖδας μὲν γίνεσθαι, τὸ δὲ ἀεὶ τικτόμενον κατακρύπτειν αὐτὸ ἐς τὸ ἱερὸν φέρουσαν τῆς Ἥρας, κατακρύπτειν δὲ ἀθανάτους ἔσεσθαι νομίζουσαν*[1])*· τέλος δὲ αὐτήν τε μαθεῖν ὡς ἡμαρτήκοι τῆς ἐλπίδος, καὶ ἅμα ὑπὸ τοῦ Ἰάσονος φωραθεῖσαν, οὐ γὰρ αὐτὸν ἔχειν δεομένῃ συγγνώμην, ἀποπλέοντα δὲ ἐς Ἰωλκὸν*

1) Cf. Schol. ad Pind. Ol. XIII, 74: *Ἐν Κορίνθῳ κατῴκει* (Medea) *καὶ ἔπαυσε Κορινθίους λιμῷ κατεχομένους θύσασα Δήμητρι καὶ νύμφαις Λημνίαις. ἐκεῖ δὲ αὐτῆς ὁ Ζεὺς ἠράσθη, οὐκ ἐπείθετο δὲ ἡ Μήδεια τὸν τῆς Ἥρας ἐκκλίνουσα χόλον· διὸ καὶ ἡ Ἥρα ὑπέσχετο αὐτῇ ἀθανάτους ποιῆσαι τοὺς παῖδας. ἀποθανόντας δὲ τούτους τιμῶσι Κορίνθιοι, καλοῦντες μιξοβαρβάρους.*

οἴχεσθαι, τούτων δὲ ἕνεκα ἀπελθεῖν καὶ Μήδειαν παραδοῦσαν Σισύφῳ τὴν ἀρχήν. τάδε μὲν οὕτως ἔχοντα ἐπελεξάμην. Cf. Schol. ad Eur. Med. 10. 20.

4.

Paus. II, 1, 1[1]): Εὔμηλος ....... φησὶν .......... Ἐφύραν Ὠκεανοῦ θυγατέρα οἰκῆσαι πρῶτον ἐν τῇ γῇ ταύτῃ[2]), Μαραθῶνα δὲ ὕστερον τὸν Ἐπωπέως τοῦ Ἀλωέως τοῦ Ἡλίου, φεύγοντα ἀνομίαν καὶ ὕβριν τοῦ πατρός, ἐς τὰ παραθαλάσσια μετοικῆσαι τῆς Ἀττικῆς, ἀποθανόντος δὲ Ἐπωπέως ἀφικόμενον ἐς Πελοπόννησον καὶ τὴν ἀρχὴν διανείμαντα τοῖς παισὶν αὐτὸν ἐς τὴν Ἀττικὴν αὖθις ἀναχωρῆσαι, καὶ ἀπὸ μὲν Σικυῶνος τὴν Ἀσωπίαν, ἀπὸ δὲ Κορίνθου τὴν Ἐφυραίαν μετονομασθῆναι.

5.

Paus. II, 2, 2: Τάφους δὲ Σισύφου καὶ Νηλέως, καὶ γὰρ Νηλέα ἀφικόμενον ἐς Κόρινθον νόσῳ τελευτῆσαί φασι καὶ περὶ τὸν Ἰσθμὸν ταφῆναι, οὐκ ἂν οὐδὲ ζητοίη τις ἐπιλεξάμενος τὰ Εὐμήλου· Νηλέως μὲν γὰρ οὐδὲ Νέστορι ἐπιδειχθῆναι τὸ μνῆμα ὑπὸ Σισύφου φησί· χρῆναι γὰρ ἄγνωστον τοῖς πᾶσιν ὁμοίως εἶναι· Σίσυφον δὲ ταφῆναι μὲν ἐν τῷ Ἰσθμῷ, τὸν δέ οἱ τάφον καὶ τῶν ἐφ' αὑτοῦ Κορινθίων ὀλίγους εἶναι τοὺς εἰδότας. Wilisch p. 23 sq.

---

1) Cf. paullo supra: Ἡ δὲ Κορινθία χώρα, μοῖρα οὖσα τῆς Ἀργείας, ἀπὸ Κορίνθου τὸ ὄνομα ἔσχηκε. Διὸς δὲ εἶναι Κόρινθον οὐδένα οἶδα εἰπόντα πω σπουδῇ πλὴν Κορινθίων τῶν πολλῶν, ἐπεὶ Εὔμηλος κτλ. (cf. fragm. 1). 2) Cf. fragm. 1.

6.

Schol. Laur. ad Apoll. Rhod. I, 146 de Leda: *Γλαύκου δὲ αὐτὴν τοῦ Σισύφου εἶναι πατρὸς ἐν Κορινθιακοῖς λέγει Εὔμηλος καὶ Παντειδυίας μητρός, ἱστορῶν ὅτι τῶν ἵππων ἀπολομένων ἦλθεν εἰς Λακεδαίμονα ὁ Γλαῦκος καὶ ἐκεῖ ἐμίγη Παντειδυίᾳ, ἣν ὕστερον γήμασθαι Θεστίῳ καὶ ποιῆσαι τὴν Λήδαν γόνῳ μὲν*[1]) *οὖσαν Γλαύκου, λόγῳ δὲ Θεστίου.*[2])

7.

Apollodor. III, 11, 1, 1: *Μενέλαος ...... ἐκ Κνωσσίας νύμφης κατὰ Εὔμηλον (ἐγέννησε) Ξενόδαμον.* Ad Corinthiaca retulit Wilisch p. 27.

8.

Schol. Laur. ad Apoll. Rhod. II, 946 [p. 436, 15 Keil]: *Ἐν δὲ τοῖς Ὀρφικοῖς Ἄρεως καὶ Αἰγίνης γενεαλογεῖται (ἡ Σινώπη)· κατὰ δέ τινας Ἄρεως καὶ Παρνάσσης· κατ' Εὔμηλον καὶ Ἀριστοτέλην Ἀσωποῦ.*

9.

*Τὸν δ' ἕλεν ἀμφασίη ῥιπῇ στιβαροῖο σόλοιο,*
*Αἰήτην. οἱ δ' ὥστε θοοὶ κύνες ἀμφιθορόντες*
*ἀλλήλους βρυχηδὸν ἐδήιον· οἱ δ' ἐπὶ γαῖαν*
*μητέρα πῖπτον ἑοῖς ὑπὸ δούρασιν ἠύτε πεῦκαι*
*ἢ δρύες, ἅς τ' ἀνέμοιο κατάικες δονέουσιν.*

Schol. Laur. ad Apoll. Rhod. III, 1372: *Οὗτος καὶ οἱ*

---

1) Sic Keil; *Θέσπιον φασι τὴν Λήδαν λόγῳ μὲν* Cod. Laur.
2) *γήμασθαι — Θεστίου*] *γήμασθαί φησιν Θέσπιον· ἣν Γλαύκου οὖσαν κληθῆναι Θεσπίου* Cod. Par.

ἑξῆς στίχοι εἰλημμένοι εἰσὶ παρ' Εὐμήλου, παρ' ᾧ φησι Μήδεια πρὸς Ἴδμονα[1]).

---

## EUROPIA.

### 10.

Schol. Ven. A et minn. ad Hom. Il. Z, 131: Διόνυσος ὁ Διὸς καὶ Σεμέλης παῖς ἐν Κυβέλοις τῆς Φρυγίας ὑπὸ τῆς Ῥέας τυχὼν καθαρμῶν, καὶ διαθεὶς τὰς τελετάς, καὶ λαβὼν πᾶσαν παρὰ τῆς θεᾶς τὴν διασκευήν, ἀνὰ πᾶσαν ἐφέρετο τὴν γῆν, χορειῶν τε[2]) καὶ τιμῶν τυγχάνων προηγεῖτο πάντων ἀνθρώπων[3]). παραγενόμενον δὲ αὐτὸν εἰς τὴν Θρᾴκην Λυκοῦργος ὁ Δρύαντος λυπήσας Ἥρας μίσει, μύωπι ἀπελαύνει αὐτὸν τῆς γῆς καὶ καθάπτεται αὐτοῦ καὶ τῶν τιθηνῶν[4]). ἐτύγχανον γὰρ αὐτῷ συνοργιάζουσαι· θεηλάτῳ δὲ ἐλαυνόμενος μάστιγι τὸν θεὸν ἔσπευδε τιμωρήσασθαι· ὁ δὲ ὑπὸ δέους εἰς τὴν θάλασσαν καταδύνει, καὶ ὑπὸ Θέτιδος ὑπολαμβάνεται καὶ Εὐρυνόμης. ὁ οὖν Λυκοῦργος οὐκ ἀμισθὶ δυσσεβήσας ἔδωκε τὴν ἐξ ἀνθρώπων δίκην· ἀφῃρέθη γὰρ πρὸς τοῦ Διὸς τὸν ὀφθαλμόν. τῆς ἱστορίας πολλοὶ ἐμνήσθησαν, προηγουμένως δὲ ὁ τὴν Εὐρωπίαν[5]) πεποιηκὼς Εὔμηλος.

---

1) Ἰάσωνα Schol. Par. 2) χορειῶν τε] Sic Scholl. minn.; χορεύων Schol. Ven. 3) τυγχάνων — ἀνθρώπων] ἐτύγχανε προηγουμένων τῶν ἀνθρ. Scholl. minn. — 4) καθάπτεται — τιθηνῶν] Sic Scholl. minn.; καθάπτει αὐτὸν τῶν τούτου τιθηνῶν Cod. Ven. — 5) Εὐρώπειαν Dind. Cf. Thesaur. III p. 2438 A. Marcksch. p. 236 sq.

11.

Ὄφρα θεῷ δεκάτην ἀκροθίνιά τε κρεμάσαιμεν
σταθμῶν ἐκ ζαθέων καὶ κίονος ὑψηλοῖο.

Clem. Alex. Strom. I p. 151 (349 A) Sylb. 419 Pott. Ἀλλὰ καὶ ὁ τὴν Εὐρωπίαν ποιήσας ἱστορεῖ τὸ ἐν Δελφοῖς ἄγαλμα Ἀπόλλωνος κίονα εἶναι διὰ τῶνδε· „ὄφρα — ὑψηλοῖο".

12.

Paus. IX, 5, 8 (4): Ὁ δὲ τὰ ἔπη τὰ ἐς Εὐρώπην ποιήσας φησὶν Ἀμφίονα χρήσασθαι λύρᾳ πρῶτον Ἑρμοῦ διδάξαντος. πεποίηκε δὲ καὶ λίθων καὶ θηρίων .....[1]) ὅτι καὶ ταῦτα ᾄδων ἦγε.

---

## ἈιΣΜΑ ΠΡΟΣΟΔΙΟΝ[2]).

13.

Τῷ γὰρ Ἰθωμάτᾳ καταθύμιος ἔπλετο μοῖσα
ἁ καθαρὰ ...... καὶ ἐλεύθερα σάμβαλ' ἔχοισα.

Paus. IV, 33, 2 (3): Ἄγουσι δὲ καὶ ἑορτὴν ἐπέτειον Ἰθωμαῖα (Messenii)· τὸ δὲ ἀρχαῖον καὶ ἀγῶνα ἐτίθεσαν

---

1) Lacunae signa pos. Schubart. — 2) Cram. An. Oxon. IV p. 314: προσόδιόν ἐστι ποίημα ὑπὸ ἀρρένων ἢ παρθένων χοροῦ ἐν τῇ προσόδῳ τῇ πρὸς τὸν θεὸν ᾀδόμενον. φέρεται δὲ ἐν τούτῳ τῷ γένει καὶ τὸ ἀποτρεπτικόν· ἔστι δὲ ποίημα σπαστικὸν κατὰ τὸν ἀπὸ τῶν θεῶν χωρισμὸν ᾀδόμενον. Plut. moral. p. 1136 F: οὐκ ἠγνόει δέ, ὅτι πολλὰ Δώρια παρθένεια ἄλλα Ἀλκμᾶνι καὶ Πινδάρῳ καὶ Σιμωνίδῃ καὶ Βακχυλίδῃ πεποίηται. ἀλλὰ μὴν καὶ ἔτι προσόδια καὶ παιᾶνες καὶ μέντοι καὶ ὅτι τραγικοὶ οἶκτοί ποτε ἐπὶ τοῦ Δωρίου τρόπου ἐμελῳδήθησαν κτλ. Cf. Etym. M. p. 777, 3 sqq. Marcksch. p. 243 sq.

Fragm. XIII. 2. ἁ καθαρὰν κιθάραν Bergk Poett. Lyrr. p. 811; ἁ καθαρὰ καὶ ἐλευθέριος καλὰ σ. ἔχ. Emperius.

μουσικῆς. τεκμαίρεσθαι δ' ἔστιν ἄλλοις τε καὶ Εὐμήλου τοῖς ἔπεσιν· ἐποίησε γοῦν καὶ τάδε ἐν τῷ προσοδίῳ τῷ ἐς Δῆλον· „τῷ — ἔχοισα". Cf. IV, 4, 1: Ἐπὶ δὲ Φίντα τοῦ Συβότα πρῶτον Μεσσήνιοι τότε τῷ Ἀπόλλωνι ἐς Δῆλον θυσίαν καὶ ἀνδρῶν χορὸν ἀποστέλλουσι. τὸ δέ σφισιν ᾆσμα προσόδιον ἐς τὸν θεὸν ἐδίδαξεν Εὔμηλος, εἶναί τε ὡς ἀληθῶς Εὐμήλου νομίζεται μόνα τὰ ἔπη ταῦτα. — V, 19, 10 (2).

---

## INCERTORUM CARMINUM FRAGMENTA.

### 14.

Apollodor. III, 8, 2, 2: *Εὔμηλος δὲ καί τινες ἕτεροι λέγουσι Λυκάονι καὶ θυγατέρα Καλλιστὼ γενέσθαι.*

### 15.

De Arcade Callistus filio Apollod. III, 9, 1, 1: Ἀρκάδος δὲ καὶ Λεανείρας τῆς Ἀμύκλου ἢ Μετανείρας τῆς Κρόκωνος, ὡς δὲ Εὔμηλος λέγει, νύμφης Χρυσοπελείας, ἐγένοντο παῖδες Ἔλατος καὶ Ἀφείδας. οὗτοι τὴν γῆν ἐμερίσαντο, τὸ δὲ πᾶν κράτος εἶχεν Ἔλατος.

Tzetz. ad Lycophr. 480: Ἀρκάς, ὁ Διὸς ἢ Ἀπόλλωνος παῖς καὶ Καλλιστοῦς τῆς Λυκάονος θυγατρός, ὥς φησι Χάρων ὁ Λαμψακηνός, κυνηγῶν ἐνέτυχέ τινι τῶν Ἁμαδρυάδων νυμφῶν κινδυνευούσῃ καὶ μελλούσῃ φθαρῆναι ὑπὸ χειμάρρου ποταμοῦ ἐν τῇ δρυί, ἐν ᾗ γεγονυῖα ἦν ἡ νύμφη, καὶ ἀνέτρεψε τὸν ποταμὸν καὶ τὴν δρῦν χώματι ὠχύρωσεν. ἡ δὲ νύμφη, Χρυσοπέλεια τὴν κλῆσιν κατ' Εὔμηλον, συνελθοῦσα αὐτῷ

γεννᾷ Ἔλατον καὶ Ἀφείδαντα, ἐξ ὧν εἰσι καὶ οἱ Ἀρκάδες, ὥς φησι Ἀπολλώνιος.

16.

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἐννέα κοῦραι.

Clem. Alex. Strom. VI p. 264 (621 D) Sylb. 742 Pott. Εὐμήλου γὰρ ποιήσαντος „Μνημοσύνης — κοῦραι", Σόλων τῆς ἐλεγείας ὧδε ἄρχεται· „Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα". Wilisch p. 5. 38 sq.

17.

Tzetz. ad. Hes. Opp. 1 p. 23 Gaisf. [25, 14 ed. Lips.]: Εὔμηλος μὲν[1]) ὁ Κορίνθιος τρεῖς φησιν εἶναι Μούσας θυγατέρας[2]) Ἀπόλλωνος, Κηφισοῦν[3]), Ἀπολλωνίδα[4]), Βορυσθενίδα[5]). Eadem habent Eudoc. p. 294, 14—16. Gramm. in Cram. Anecd. Ox. IV p. 424. Excerpt. ap. Iriart. Catal. Bibl. Matr. p. 320. Cf. Ruhnk. ep. crit. p. 222 (Opp. II p. 609). Hermann. Opuscc. II p. 300. Wilisch p. 36.

18.

Laur. Lyd. de mens. IV, 48: Εὔμηλος δὲ ὁ Κορίνθιος τὸν Δία ἐν τῇ καθ' ἡμᾶς Λυδίᾳ τεχθῆναι βούλεται, καὶ μᾶλλον ἀληθεύει ὅσον ἐν ἱστορίᾳ· ἔτι γὰρ καὶ νῦν πρὸς τῷ δυτικῷ τῆς Σαρδιανῶν πόλεως μέρει ἐπ' ἀκρωρείας τοῦ Τμώλου τόπος ἐστίν, ὃς πάλαι μὲν Γοναὶ Διὸς Ὑετίου, νῦν δὲ παρατραπείσης τῷ χρόνῳ λέξεως Δευσίου προσαγορεύεται.

1) μέν τοι cod. Hisp. 2) θυγατέρας om. cod. Hisp. 3) Ἰφισοῦν cod. Hisp. Κιφησιοῦν cod. Par. ap. Ruhnk. 4) Ἀπολλώνιδα Gramm. ap. Cram. πολλωνίδα cod. Hisp. 5) Βαρυσθενίδα Tzetz. ap. Gaisf. Κρυσθενίδα cod. Hisp.

## CINAETHO.

Paus. II, 3, 9 (7): *Κιναίθων ὁ Λακεδαιμόνιος.* Cf. Schol. ad Eur. Tro. 821. Tzetz. Exeg. in Il. p. 45, 10 sq.

Hieron. Euseb. Chron. ad Olymp. IV, 2 (p. 81 Schoene): Cinaethon Lacedaemonius poeta qui Telegoniam scripsit agnoscitur.

Cinaethoni tribuuntur

1. *Ἔπη*[1]). Paus. II, 3, 9 (7): *Κιναίθων δὲ ὁ Λακεδαιμόνιος, ἐγενεαλόγησε γὰρ καὶ οὗτος ἔπεσι.* Cf. fragm.

2. *Τηλεγονία*[2]). Hieron. l. l.

3. *Ἡράκλεια.* Schol. ad Apoll. Rhod. I, 1357. V. infra. p. 212.

4. *Οἰδιποδία.* Supra, p. 8 sq.

5. *Ἰλιὰς μικρά.* Supra, p. 38.

Cinaethonem a Cynaetho rhapsodo celeberrimo[3]) non diversum fuisse censet Welcker Cycl. Ep. I p. 242 sqq. („Kinaethon und Kynaethos sind derselbe Name etc.") — Quam opinionem refellit Marcksch. p. 245 sqq.

---

1) *Γενεαλογίαι* substituit Marcksch. p. 248. 2) *Τηλεγονία* corruptum; *Θεογονία* vel *Γενεαλογίαι* ci. viri dd. — 3) Schol. ad Pind. Nem. II, 1: *Ὁμηρίδας ἔλεγον τὸ μὲν ἀρχαῖον τοὺς ἀπὸ τοῦ Ὁμήρου γένους, οἳ καὶ τὴν ποίησιν αὐτοῦ ἐκ διαδοχῆς ᾖδον· μετὰ δὲ ταῦτα καὶ οἱ ῥαψῳδοὶ οὐκέτι τὸ γένος εἰς Ὅμηρον ἀνάγοντες. ἐπιφανεῖς δὲ ἐγένοντο οἱ περὶ Κύναιθον, οὕς φασι πολλὰ τῶν ἐπῶν ποιήσαντας ἐμβαλεῖν εἰς τὴν Ὁμήρου ποίησιν. ἦν δὲ ὁ Κύναιθος Χῖος, ὃς καὶ τῶν ἐπιγραφομένων Ὁμήρου ποιημάτων τὸν εἰς Ἀπόλλωνα γεγραμμένον ὕμνον λέγεται πεποιηκέναι. οὗτος οὖν ὁ Κύναιθος πρῶτος ἐν Συρακούσαις ἐρραψῴδησε τὰ Ὁμήρου ἔπη κατὰ τὴν ἑξηκοστὴν ἐννάτην Ὀλυμπιάδα, ὡς Ἱππόστρατός φησιν.*

## 'ΕΠΩΝ FRAGMENTA.

1.

Paus. VIII, 53, 5 (2): *Κιναίθων δὲ ἐν τοῖς ἔπεσιν ἐποίησεν ὡς Ῥαδάμανθυς μὲν Ἡφαίστου, Ἥφαιστος δὲ εἴη Τάλω, Τάλων δὲ εἶναι Κρητὸς παῖδα. οἱ μὲν δὴ Ἑλλήνων λόγοι διάφοροι τὰ πλέονα καὶ οὐχ ἥκιστα ἐπὶ τοῖς γένεσίν εἰσι.*

2.

Paus. II, 3, 9 (7): *Κιναίθων δὲ ὁ Λακεδαιμόνιος, ἐγενεαλόγησε γὰρ καὶ οὗτος ἔπεσι, Μήδειον*[1]) *καὶ θυγατέρα Ἐριῶπιν Ἰάσονι εἶπεν ἐκ Μηδείας γενέσθαι· πέρα δὲ ἐς τοὺς παῖδας οὐδὲ τούτῳ πεποιημένα ἐστίν.*

3.

Schol. Ven. A ad. Hom. Il. *Γ*, 175: *Ἑλένης τε καὶ Μενελάου ἱστορεῖ Ἀρίαιθος παῖδα Μαράφιον ...... ὡς δὲ Κιναίθων, Νικόστρατον.*

4.

Paus. II, 18, 6 (5): *Ὀρέστου δὲ ἀποθανόντος ἔσχε Τισαμενὸς τὴν ἀρχὴν Ἑρμιόνης τῆς Μενελάου καὶ Ὀρέστου παῖς. τὸν δὲ Ὀρέστου νόθον Πενθίλον Κιναίθων ἔγραψεν ἐν τοῖς ἔπεσιν Ἠριγόνην τὴν Αἰγίσθου τεκεῖν.* Cf. Strab. IX p. 402. XIII p. 582.

5.

Paus. IV, 2, 1: *Πυθέσθαι δὲ σπουδῇ πάνυ ἐθελήσας οἵ τινες παῖδες Πολυκάονι ἐγένοντο ἐκ Μεσ-*

---

1) *Μῆδον* Siebelis.

σήνης, ἐπελεξάμην τάς τε Ἠοίας καλουμένας καὶ τὰ ἔπη τὰ Ναυπάκτια, πρὸς δὲ αὐτοῖς ὁπόσα Κιναίθων καὶ Ἄσιος ἐγενεαλόγησαν. οὐ μὴν ἔς γε ταῦτα ἦν σφίσιν οὐδὲν πεποιημένον.

---

## CARMEN NAUPACTIUM.

Paus. X, 38, 11 (6): Τὰ δὲ ἔπη τὰ Ναυπάκτια ὀνομαζόμενα ὑπὸ Ἑλλήνων ἀνδρὶ ἐσποιοῦσιν οἱ πολλοὶ Μιλησίῳ· Χάρων δὲ ὁ Πύθεω φησιν αὐτὰ ποιῆσαι Ναυπάκτιον Καρκίνον. ἑπόμεθα δὲ καὶ ἡμεῖς τῇ τοῦ Λαμψακηνοῦ δόξῃ· τίνα γὰρ καὶ λόγον ἔχοι ἂν ἔπεσιν ἀνδρὸς Μιλησίου πεποιημένοις ἐς γυναῖκας τεθῆναί σφισιν ὄνομα Ναυπάκτια; Cf. II, 3, 9 (7): Ἔπη δὲ ἔστιν ἐν Ἕλλησι Ναυπάκτια ὀνομαζόμενα. IV, 2, 1: Τὰ ἔπη τὰ Ναυπάκτια.

Verum nomen est apud Pausaniam; alii Ναυπακτικὰ formam habent, cf. fragm. 1—9. 11. 12.

De carminis argumento disputavit Marcksch. p. 255 sq. „Quamvis accuratiore cognitione careamus, hoc pro certo poni videtur posse, in quo omnes nunc consentiunt, hoc carmine celebratas fuisse illustres in fabulis feminas una cum eorum prosapiis, ut Heynius dicit ...... Nec tamen intra genealogiarum tenuitatem poetam se continuisse, sed satis copiose de heroum rebus gestis exposuisse ex iis concludi potest, quae scholiasta ad Apollonium de Argonautarum expeditione ex hoc carmine affert."

---

### 1.

Τὴν δὲ μέθ' ὁπλοτάτην Ἐριώπην ἐξονόμαζεν,
Ἀλκιμάχην δὲ πατήρ τε καὶ Ἄδμητος καλέεσκεν.

Schol. Vict. ad Hom. Il. *Ο*, 336: *Ὁμοίως τῷ ποιητῇ καὶ Ἑλλάνικος τὴν Ἐριώπην μητέρα Αἴαντός φησι. Φερεκύδης δὲ ἐν εω*[1]) *καὶ Μνασέας ἐν η' Ἀλκιμάχην· ὁ δὲ τῶν Ναυπακτικῶν ποιητὴς διώνυμον αὐτήν φησι· „τὴν — καλέεσκεν"*. Eadem e cod. Townl. protulit Cram. Anecd. Par. III p. 286.

2.

*Ἀλλ' ὃ μὲν οὖν ἐπὶ θινὶ θαλάσσης εὐρυπόροιο*
*οἰκία ναιετάασκε πολύρρην, πουλυβοώτης.*

Herodian. *περὶ μον. λέξ.* p. 15 [II p. 922 Lentz.[2]]: *Ἐν συνθέσει πολύρρην παρὰ τῷ τὰ Ναυπακτικὰ ποιήσαντι· „ἀλλ' — πουλυβοώτης"*.

3.

Apoll. Rhod. II, 298 sq.: *Ἅρπυιαί τ' Ἶρίς τε διέτμαγον. αἳ μὲν ἔδυσαν | κευθμῶνα Κρήτης Μινωίδος.* Ubi Schol.: *κοιλάδα τῆς Κρήτης κατέδυσαν. τοῦτο δέ φησι καὶ Νεοπτόλεμος. ὁ δὲ τὰ Ναυπακτικὰ ποιήσας καὶ Φερεκύδης ἐν ϛ̄ φασὶν*[3]) *εἰς τὸ σπέος αὐτὰς φυγεῖν τῆς Κρήτης τὸ ὑπὸ τῷ λόφῳ τῷ Ἀργινοῦντι.*

4.

Apoll. Rhod. III, 242: *τὸν μὲν (Ἄψυρτον) Καυκασίη νύμφη τέκεν Ἀστερόδεια.* Ubi Schol.: *Ὁ τὰ Ναυπακτικὰ πεποιηκὼς Εὐρυλύτην*[4]) *αὐτὴν λέγει.*

---

1) Sic Vict.; *ἐνεω* cod. Townl. Legendum videtur *ἐν ε'?* (i. e. *ἐν πέμπτῳ*).

Fragm. II. 1. *ἐπὶ θινὶ*] *ἐπινευσὶ* cod. *ἀπάνευθε* Lobeck paralipp. gr. gr. p. 71, qui praeterea *οὐκ* pro *οὖν*; — *ἐπὶ θινὶ* Cramer. Koechly coni. ep. p. 14. — 2. *οἰκίαν* cod., corr. Dind.

2) Cf. I p. 17. 3) *Νεοπτ. — φασὶν*] Legebatur *Νεοπτόλεμος ὁ τὰ Ν. ποιήσας· καὶ Φ. — φησίν.* Corr. Keil. — 4) *Ἐριαύγην* Cod. Par., male. Cf. fragm. 7.

5.

Schol. Laur. ad Apoll. Rhod. III, 521: Ὁ μὲν Ἀπολλώνιος τούτους φησὶ προαιρεῖσθαι ζεῦξαι τοὺς βόας. ὁ δὲ τὰ Ναυπακτικὰ ποιήσας[1]) πάντας ἀριθμεῖ τοὺς ὑπ' αὐτοῦ φερομένους ἀριστεῖς.

6.

Schol. Laur. ad Apoll. Rhod. III, 523 ἀλλά τιν' οἴω μητρὸς ἐμῆς] δύναταί, φησιν, ἡ μήτηρ ἡ ἐμὴ πεῖσαι τὴν Μήδειαν συνεργῆσαι τὸν ἆθλον. ἐν δὲ τοῖς Ναυπακτικοῖς Ἴδμων ἀναστὰς Ἰάσονα κελεύει ὑποστῆναι τὸν ἆθλον.[2])

7. 8.

*Δὴ τότ' ἄρ' Αἰήτῃ πόθον ἔμβαλε δῖ' Ἀφροδίτη*
*Εὐρυλύτης φιλότητι μιγήμεναι ἧς ἀλόχοιο,*
*κηδομένη φρεσὶν ᾗσιν ὅπως μετ' ἄεθλον Ἰήσων*
*νοστήσῃ οἶκόνδε σὺν ἀγχεμάχοις ἑτάροισιν.*

---

*Φευγέμεν ἐκ μεγάροιο θοὴν διὰ νύκτα μέλαιναν.*
Schol. Laur. ad Apoll. Rhod. IV, 59: παρὰ δὲ τῷ τὰ Ναυπακτικὰ πεποιηκότι οὔκ ἐστι κατὰ τὴν ἰδίαν προαίρεσιν ἐξιοῦσα ἡ Μήδεια, ἀλλ' ἐφέστιος ἀνακαλουμένη[3]). οἱ γὰρ Ἀργοναῦται κατ' ἐπιβουλὴν ἐνστάντος τοῦ τῆς ἀναιρέσεως αὐτῶν καιροῦ . . . . .[4]) προτραπομένου δὲ τοῦ Αἰήτου ἐπὶ τὴν Εὐρυλύτης τῆς γυναι-

---

1) ποιήσας e Cod. Par. addidi. — 2) Cod. Par. ad v. 515—522: Ἔτι δὲ ὁ μὲν Ἀπολλώνιος Ἄργον φησὶν ἐμποδίσαι τοὺς ἥρωας ὑποστῆναι βουλομένους τὸν ἀγῶνα· ἐν δὲ τοῖς N. κτλ. — 3) ἐφέστιος ἀνακαλουμένη] Sic Keil. ἐφ' ἑστίαν καλουμένη Cod. Laur., ἐφ' ἑστίασιν καλουμένη Marcksch. — 4) Lacunae signa pos. Keil.

κὸς συνουσίαν Ἴδμονος ὑποθεμένου τοῖς Ἀργοναύταις ἀποδιδράσκειν, καὶ Μήδεια συνεκπλεῖ.

Id. ad IV, 86: Ὁ μὲν Ἀπολλώνιός φησι νυκτὸς πεφευγέναι τὴν Μήδειαν ἐπὶ τὴν ναῦν Αἰήτου συνέδριον ἔχοντος Κόλχων περὶ διαφθορᾶς τῶν ἡρώων. ὁ δὲ τὰ Ναυπακτικὰ πεποιηκὼς ὑπὸ Ἀφροδίτης φησὶ τὸν Αἰήτην κατακοιμηθῆναι ἐπιθυμήσαντα τῇ αὐτοῦ γυναικὶ συγγενέσθαι δεδειπνηκότων παρ' αὐτῷ τῶν Κόλχων[1]) καὶ κοιμωμένων διὰ τὸ βούλεσθαι αὐτὸν τὴν ναῦν ἐμπρῆσαι „δὴ τότ' — ἑτάροισιν“. ὁ δὲ Ἴδμων συνῆκε τὸ γεγονὸς καί φησι „φευγέμεναι — μέλαιναν“. τὴν δὲ Μήδειαν τὴν ποδοψοφίαν ἀκούσασαν[2]) ἀναστᾶσαν συνεξορμῆσαι. λέγει δὲ καὶ Ἡρόδωρος ταῦτα.

9.

Schol. Laur. ad Apoll. Rhod. IV, 87: Ὁ μὲν Ἀπολλώνιος μετὰ τὸ φυγεῖν τὴν Μήδειαν ἐκ τοῦ Αἰήτου οἴκου πεποίηκεν ὑπισχνουμένην τὸ κῶας τῷ Ἰάσονι· ὁ δὲ τὰ Ναυπακτικὰ γράψας συνεκφέρουσαν αὐτὴν τὸ κῶας κατὰ τὴν φυγὴν κατὰ τὸν αὐτοῦ οἶκον κείμενον τοῦ Αἰήτου.

10.

Paus. II, 3, 9 (7): Ἔπη δὲ ἔστιν ἐν Ἕλλησι Ναυπάκτια ὀνομαζόμενα· πεποίηται δὲ ἐν αὐτοῖς Ἰάσονα ἐξ Ἰωλκοῦ μετὰ τὸν Πελίου θάνατον ἐς Κόρκυραν μετοικῆσαι, καί οἱ Μέρμερον μὲν τὸν πρεσβύτερον

---

1) τῶν Κόλχων] τῶν Ἀργοναυτῶν ci. Keil. — 2) ποδοψοφίην ἀίουσα poetam dixisse suspicatur Schaefer.

τῶν παίδων ὑπὸ λεαίνης διαφθαρῆναι θηρεύοντα ἐν τῇ πέραν ἠπείρῳ· Φέρητι δὲ οὐδέν ἐστιν ἐς μνήμην προσκείμενον.

11.

Adnot. marginalis ad Apollod. III, 10, 3, 9 (ab Heynio a mythographi textu seiuncta): Ἱππόλυτον (ἀνέστησεν ὁ Ἀσκληπιός), ὡς ὁ τὰ Ναυπακτικὰ συγγράψας λέγει.

12.

Philod. περὶ εὐσ. p. 52 Gomp.: Ἀσκληπι[ὸν δὲ Ζε]ὺς ἐκεραύνωσ[εν, ὡς μ]ὲν ὁ τὰ Ναυπα[κτι]κὰ συνγράψας. Cf. p. 17.

13.

Paus. IV, 2, 1. Cf. Cinaeth. fragm. 5. p. 197.

---

## ASIUS.

Paus. VII, 4, 1 (2): Ἄσιος δὲ ὁ Ἀμφιπτολέμου Σάμιος. Cf. II, 6, 4 (2). Athen. III p. 125 B: κατὰ τὸν Σάμιον ποιητὴν Ἄσιον τὸν παλαιὸν ἐκεῖνον.

De carminibus Asio adscriptis. Composuit 1) Genealogias, breviter indicatas a Paus. IV, 2, 1. ἐπελεξάμην ..... ὁπόσα Κιναίθων καὶ Ἄσιος ἐγενεαλόγησαν coll. VII, 4, 1 (2): Ἄσιος ....... ἐποίησεν ἐν τοῖς ἔπεσιν et fragm. 3—6. — 2) Carmen epicum de Samiorum moribus, cf. infra. — 3) Elegias, de quibus v. Athen. III p. 125, B, D.

Subsidia. — Callini, Tyrtaei, Asii carminum quae supersunt ed. Nic. Bach. Lips. 1831. Suppl. ed. 1832.

— Marckscheff. p. 259—261. 411—416. — Asii, Pisandri etc. fragmenta cum annotat. ed. Fred. Duebner. Par. 1840. — Bode Hist. poeseos Graecae I p. 491 sq.

---

## ΕΠΩΝ (ΓΕΝΕΑΛΟΓΙΩΝ) FRAGMENTA.

### 1.

*Ἀντιόπη δ' ἔτεκε Ζῆθον καὶ Ἀμφίονα δῖον,*
*Ἀσωποῦ κούρη ποταμοῦ βαθυδινήεντος,*
*Ζηνί τε κυσαμένη καὶ Ἐπωπέι ποιμένι λαῶν.*

Paus. II, 6, 3 (2): *Λαμέδων γὰρ ὁ Κορώνου βασιλεύσας μετὰ Ἐπωπέα ἐξέδωκεν Ἀντιόπην· ἡ δὲ ὡς ἐς Θήβας ἤγετο τὴν ἐπ' Ἐλευθερῶν, ἐνταῦθα καθ' ὁδὸν τίκτει. καὶ ἐπὶ τούτῳ πεποίηκεν Ἄσιος ὁ Ἀμφιπτολέμου· „Ἀντιόπη — λαῶν".*

### 2.

*Δίου ἐνὶ μεγάροις τέκεν εὐειδὴς Μελανίππη.*

Strab. VI p. 265: *δοκεῖ δ' Ἀντίοχος τὴν πόλιν Μεταπόντιον εἰρῆσθαι πρότερον Μέταβον, παρωνομάσθαι δ' ὕστερον· τήν τε Μελανίππην οὐ πρὸς τοῦτον ἀλλὰ πρὸς Δῖον κομισθῆναι ἐλέγχειν ἡρῷον τοῦ Μετάβου καὶ Ἄσιον τὸν ποιητὴν φήσαντα ὅτι τὸν Βοιωτὸν „Δίου — Μελανίππη", ὡς πρὸς ἐκεῖνον ἀχθεῖσαν τὴν Μελανίππην, οὐ πρὸς Μέταβον.*

### 3.

Paus. IX, 23, 6 (3): *Προελθόντι δὲ ἀπὸ τῆς πόλεως (Θηβῶν) ἐν δεξιᾷ πέντε που καὶ δέκα σταδίους*

---

Fragm. I. 1. *Ζῆθον κἀμφίονα* Duebn., *Ζῆθόν τ' Ἀμφίονά θ' υἱόν* Naeke ad Choeril. p. 76.

τοῦ Ἀπόλλωνός ἐστι τοῦ Πτώου τὸ ἱερόν. εἶναι δὲ Ἀθάμαντος καὶ Θεμιστοῦς παῖδα τὸν Πτῶον, ἀφ' οὗ τῷ τε Ἀπόλλωνι ἐπίκλησις καὶ τῷ ὄρει τὸ ὄνομα ἐγένετο, Ἄσιος ἐν τοῖς ἔπεσιν εἴρηκε.

4.

Paus. V, 17, 8 (4): Ἄσιος δὲ ἐν τοῖς ἔπεσι καὶ Ἀλκμήνην ἐποίησε θυγατέρα Ἀμφιαράου καὶ Ἐριφύλης εἶναι.

5.

Paus. II, 29, 4: Φώκῳ δὲ Ἄσιος ὁ τὰ ἔπη ποιήσας γενέσθαι φησὶ Πανοπέα καὶ Κρῖσον· καὶ Πανοπέως μὲν ἐγένετο Ἐπειὸς ὁ τὸν ἵππον τὸν δούρειον, ὡς Ὅμηρος ἐποίησεν, ἐργασάμενος, Κρίσου δὲ ἦν ἀπόγονος τρίτος Πυλάδης, Στροφίου τε ὢν τοῦ Κρίσου καὶ Ἀναξιβίας ἀδελφῆς Ἀγαμέμνονος.

6.

Paus. III, 13, 8 (5): Γεγόνασι δὲ οἱ Τυνδάρεω παῖδες τὰ πρὸς μητρὸς ἀπὸ τοῦ Πλευρῶνος· Θέστιον γὰρ τὸν Λήδας πατέρα Ἀσιός[1]) φησιν ἐν τοῖς ἔπεσιν Ἀγήνορος παῖδα εἶναι τοῦ Πλευρῶνος.

7.

Paus. VII, 4, 1 (2): Ἄσιος δὲ ὁ Ἀμφιπτολέμου Σάμιος ἐποίησεν ἐν τοῖς ἔπεσιν ὡς Φοίνικι ἐκ Περιμήδης τῆς Οἰνέως γένοιτο Ἀστυπάλαια καὶ Εὐρώπη, Ποσειδῶνος δὲ καὶ Ἀστυπαλαίας εἶναι παῖδα Ἀγκαῖον, βασιλεύειν δὲ αὐτὸν τῶν καλουμένων Λελέγων· Ἀγκαίῳ

1) Codd. Ἄρειος; corr. Palmer. et Valcken.

δὲ τὴν θυγατέρα τοῦ ποταμοῦ λαβόντι τοῦ Μαιάνδρου Σαμίαν γενέσθαι Περίλαον καὶ Ἔνουδον καὶ Σάμον καὶ Ἀλιθέρσην καὶ θυγατέρα ἐπ' αὐτῷ Παρθενόπην, Παρθενόπης δὲ τῆς Ἀγκαίου καὶ Ἀπόλλωνος Λυκομήδην γενέσθαι. Ἄσιος μὲν ἐς τοσοῦτον ἐν τοῖς ἔπεσιν ἐδήλωσε.

8.

*Ἀντίθεον δὲ Πελασγὸν ἐν ὑψικόμοισιν ὄρεσσι*
*γαῖα μέλαιν' ἀνέδωκεν, ἵνα θνητῶν γένος εἴη.*

Paus. VIII, 1, 4 (2): *Πεποίηται δὲ καὶ Ἀσίῳ τοιάδε ἐς αὐτόν* (sc. *τὸν Πελασγόν*)· „*ἀντίθεον — εἴη*“.

9.

Apollodor. III, 8, 2, 2: *Εὔμηλος δὲ καί τινες ἕτεροι λέγουσι Λυκάονι καὶ θυγατέρα Καλλιστὼ γενέσθαι· Ἡσίοδος μὲν γὰρ αὐτὴν μίαν εἶναι τῶν νυμφῶν λέγει, Ἄσιος δὲ Νυκτέως.*

10.

*Κοῦραί τ' Ἰκαρίοιο Μέδη καὶ Πηνελόπεια.*

Schol. Marc. ad Hom. Od. *δ*, 797: *Ἄσιος δέ φησι* „*κοῦραι — Πηνελόπεια*“.

11.

Paus. II, 6, 5 (3): *Σικυῶνα δὲ οὐ Μαραθῶνος τοῦ Ἐπωπέως, Μητίονος δὲ εἶναι τοῦ Ἐρεχθέως φασίν· ὁμολογεῖ δέ σφισι καὶ Ἄσιος.*

12.

Paus. IV. 2. 1. cf. Cinaeth. fr. 5. p. 197.

## CARMINIS EPICI DE SAMIORUM MORIBUS FRAGMENTUM.

13.

*Οἳ δ' αὔτως φοίτεσκον, ὅπως πλοκάμους κτενίσαιντο,*
*εἰς Ἥρης τέμενος. πεπυκασμένοι εἵμασι καλοῖς,*
*χιονέοις τε χιτῶσι πέδον χθονὸς εὐρέος εἶχον,*
*χαῖται δ' ἠωρεῦντ' ἀνέμῳ χρυσέοις ἐνὶ δεσμοῖς,*
*χρύσειαι δὲ κόρυμβαι ἐπ' αὐτέων τέττιγες ὥς.*
*δαιδάλεοι δὲ χλιδῶνες ἄρ .....*
*ἀμφιβραχιονίσαντες ὑπασπίδιον πολεμιστήν.*

Athen. XII p. 525 E, F: *Περὶ δὲ τῆς Σαμίων τρυφῆς Δοῦρις ἱστορῶν παρατίθεται Ἀσίου ποιήματα, ὅτι ἐφόρουν χλιδῶνας περὶ τοῖς βραχίοσι καὶ τὴν ἑορτὴν ἄγοντες τῶν Ἡραίων ἐβάδιζον κατεκτενισμένοι τὰς κόμας ἐπὶ τὸ μετάφρενον καὶ τοὺς ὤμους. τὸ δὲ νόμιμον τοῦτο μαρτυρεῖσθαι καὶ ὑπὸ παροιμίας τῆσδε „βαδιστέ' εἰς Ἡραῖον ἐμπεπλεγμένον". ἔστι δὲ τὰ τοῦ Ἀσίου ἔπη οὕτως ἔχοντα „οἳ δ' — πολεμιστήν".*

---

Fragm. XIII. 1. *αὔτως*] Sic Bach. Meineke. Vulgo *αὔτως*. — Post v. 2 lacunam statuit Dind. — 3. Legebatur *χιονέοισι χιτ.*; corr. Lennep. — *πέδον χθ. εὐρ. ἄχρι* Herm. — Jacobs exercitt. critt. I p. 121 *πέδον χθ. εὐρὺ ἔσαιρον* legisse putat Dalecampium. — 4. 5 ante Naekium (Choer. p. 74) inverso ordine legebantur. — 5. *αὐτῶν* vulgo; corr. Naeke. — 6. 7. *ἄρ' ἀμφὶ βραχίοσιν ησαντες ὑπ.* Cod. A (Marc.) Athenaei, *ἄρ ἀμφὶ βραχίοσιν νήσαντες* al. — *ἀμφιβραχιονίσαντες* Naeke l. l. („Quod erui, versum efficit rotundissimum, et iocosa Asii magniloquentia dignissimum est. Cognata, *περιβραχιόνιον, βραχιονιστήρ*".) — De sequentibus Naeke p. 76: „*Ὑπασπίδιον πολεμιστήν* eum iocose appellat Asius, qui veste utitur longa, ad terram pertinente. Hom. *ὑπασπίδια προβιβῶντος*".

## CHERSIAS.

Pausan. IX, 38, 9 (6): *Ἔπη, ...... ἃ ἐποίησε Χερσίας, ἀνὴρ Ὀρχομένιος.*

Plut. in sept. sapient. convivio [Moral. p. 156 E]: *Εἰπόντος δὲ ταῦτα τοῦ Μνησιφίλου, Χερσίας ὁ ποιητὴς (ἀφεῖτο γὰρ ἤδη τῆς αἰτίας καὶ διήλλακτο τῷ Περιάνδρῳ νεωστὶ Χίλωνος δεηθέντος) κτλ.* Unde viri docti collegerunt poetam circa Ol. XL vixisse.

---

## FRAGMENTUM.

*Ἐκ δὲ Ποσειδάωνος ἀγακλειτῆς τε Μιδείης*
*Ἀσπληδὼν γένεθ᾽ υἱὸς ἀν᾽ εὐρύχορον πτολίεθρον.*

Paus. IX, 38, 9 sq. (6): *Ἀσπληδόνα δὲ ἐκλιπεῖν τοὺς οἰκήτοράς φασιν ὕδατος σπανίζοντας· γενέσθαι δὲ τὸ ὄνομα ἀπὸ Ἀσπληδόνος τῇ πόλει, τοῦτον δὲ εἶναι νύμφης τε Μιδείας καὶ Ποσειδῶνος. ὁμολογεῖ δὲ καὶ ἔπη σφίσιν ἃ ἐποίησε Χερσίας, ἀνὴρ Ὀρχομένιος· „ἐκ δὲ — πτολίεθρον". τοῦδε τοῦ Χερσίου τῶν ἐπῶν οὐδεμία ἦν ἔτι κατ᾽ ἐμὲ μνήμη, ἀλλὰ καὶ τάδε ἐπηγάγετο ὁ Κάλλιππος ἐς τὸν αὐτὸν λόγον τὸν ἔχοντα ἐς Ὀρχομενίους*[1]*. τούτου δὲ τοῦ Χερσίου καὶ ἐπίγραμμα οἱ Ὀρχομένιοι τὸ ἐπὶ τῷ Ἡσιόδου τάφῳ μνημονεύουσιν.*

Epigramma hoc[2]) afferunt Paus. IX, 38, 4 (3)

---

1) Paus. IX, 29, 2 (1): *Κάλλιππος Κορίνθιος ἐν τῇ ἐς Ὀρχομενίους συγγραφῇ.* 2) Ab aliis tribuitur Mnasalcae Sicyonio (Brunck. Anal. I p. 193).

et Procl. *Γέν. Ἡσιόδου* p. LXXXIII Goettl. 7 Gaisf. [8 sq. Lips.]

Ἡσιόδου [1]), τοῦ πλεῖστον ἐν Ἑλλάδι κῦδος ὀρεῖται [2])
ἀνδρῶν κρινομένων ἐν βασάνῳ [3]) σοφίης,
Ἄσκρη μὲν πατρὶς πολυλήιος, ἀλλὰ θανόντος
ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει.

---

## HEGESINUS.

### ATTHIS.

Ἄσκρῃ δ' αὖ παρέλεκτο Ποσειδάων ἐνοσίχθων,
ἣ δή οἱ τέκε παῖδα περιπλομένων ἐνιαυτῶν
Οἴοκλον, ὃς πρῶτος μετ' Ἀλωέος ἔκτισε παίδων
Ἄσκρην, ἥ θ' Ἑλικῶνος ἔχει πόδα πιδακόεντα.

Paus. IX, 29, 1: *θῦσαι δὲ ἐν Ἑλικῶνι Μούσαις πρώτους καὶ ἐπονομάσαι τὸ ὄρος ἱερὸν εἶναι Μουσῶν Ἐφιάλτην καὶ Ὦτον λέγουσιν, οἰκίσαι δὲ αὐτοὺς καὶ Ἄσκρην· καὶ δὴ καὶ Ἡγησίνους ἐπὶ τῷδε ἐν τῇ Ἀτθίδι ἐποίησεν „Ἄσκρῃ — πιδακόεντα". ταύτην τοῦ Ἡγησίνου τὴν ποίησιν οὐκ ἐπελεξάμην, ἀλλὰ πρότερον ἄρα ἐκλελοιπυῖα ἦν πρὶν ἢ ἐμὲ γενέσθαι· Κάλλιππος δὲ Κορίνθιος ἐν τῇ ἐς Ὀρχομενίους συγγραφῇ μαρτύρια ποιεῖται τῷ λόγῳ τὰ Ἡγησίνου ἔπη· ὡσαύτως δὲ καὶ ἡμεῖς πεποιήμεθα παρὰ τοῦ Καλλίππου διδαχθέντες.* Cf. Welcker. Cycl. Ep. I p. 320.

---

1) Vulgo *Ἄσκρη — κατέχει Ἡσιόδου — σοφίης*. Ordinem pristinum e cod. Vat. Proculi restituit Goettl. 2) Sic Paus. Mnas.; *τοῦ πλ. ἐν ἀνθρώποις κλέος ἐστίν* Proc. 3) *βασάνοις* Proc.

## PHORONIS.

De Phoroneo Clem. Alex. Strom. I p. 138 (321 A) Sylb. 380 Pott. *Ἀκουσίλαος γὰρ Φορωνέα πρῶτον ἄνθρωπον*[1]) *γενέσθαι λέγει.* Apollodor. II, 1, 1, 2—4: *Ὠκεανοῦ καὶ Τηθύος γίνεται παῖς Ἴναχος, ἀφ' οὗ ποταμὸς ἐν Ἄργει Ἴναχος καλεῖται. τούτου καὶ Μελίας*[2]) *τῆς Ὠκεανοῦ Φορωνεύς τε καὶ Αἰγιαλεὺς παῖδες ἐγένοντο. Αἰγιαλέως μὲν οὖν ἄπαιδος ἀποθανόντος ἡ χώρα ἅπασα Αἰγιάλεια ἐκλήθη, Φορωνεὺς δὲ πάσης τῆς ὕστερον Πελοποννήσου προσαγορευθείσης δυναστεύων ἐκ Τηλεδίκης νύμφης Ἆπιν καὶ Νιόβην ἐγέννησεν.* Cf. Schol. ad Eur. Or. 932. Paus. I, 39, 5 (4) sq. II, 21, 1.

Eustath. ad Il. p. 385, 38 Rom. 292 Bas. *Φησὶ δὲ Ἑλλάνικος παῖδας τρεῖς Φορωνέως γενέσθαι, οἳ τοῦ πατρὸς θανόντος διενείμαντο τὴν Ἀργείαν· καὶ ἡ μὲν πρὸς Ἐρασίνῳ τῷ ποταμῷ Πελασγῷ ἔλαχε, τῷ καὶ τὴν ἐκεῖ Λάρισσαν κτίσαντι, Ἰάσῳ δὲ τὰ πρὸς Ἦλιν, Ἀγήνωρ δέ, ἀναλωθείσης τῆς γῆς, τὴν πατρικὴν εἴληφεν ἵππον κτλ.*

Schol. Laur. ad Apoll. Rhod. III, 1179: *περὶ τῆς Κάδμου εἰς Θήβας παρουσίας ......... ἱστορεῖ καὶ Ἑλλάνικος ἐν ᾱ Φορωνίδος, ἱστορῶν ὅτι καὶ τοὺς*

---

1) De eius aetate paullo supra: *ἦν δὲ κατὰ τὴν Ἑλλάδα κατὰ μὲν Φορωνέα τὸν μετὰ Ἴναχον ὁ ἐπὶ Ὠγύγου κατακλυσμὸς καὶ ἡ ἐν Σικυῶνι βασιλεία πρώτου μὲν Αἰγιαλέως κτλ.* — Africanus ap. Euseb. Praep. Ev. X, 10 p. 488 D: *ἀπὸ Ὠγύγου ...... ἐφ' οὗ γέγονεν ὁ μέγας καὶ πρῶτος ἐν τῇ Ἀττικῇ κατακλυσμὸς Φορωνέως Ἀργείων βασιλεύοντος, ὡς Ἀκουσίλαος ἱστορεῖ, μέχρι πρώτης Ὀλυμπιάδος ..... ἔτη συνάγεται χίλια εἴκοσιν.* Apud Tatian. or. ad Graec. 39 § 60 (p. 150 Otto) Inachus annis CCCC. rebus Iliacis est antiquior. 2) *Μελίας*] Archia matris nomen est ap. Hygin. fab. 143.

ὀδόντας ἔσπειρε τοῦ δράκοντος κατὰ Ἄρεως βούλησιν καὶ ἐγένοντο πέντε ἄνδρες ἔνοπλοι, Οὐδαῖος, Χθόνιος, Πέλωρ, Ὑπερήνωρ, Ἐχίων. Eadem narrat Eudoc. p. 248, 20.

Tatian. orat. ad Graec. 39 § 60 p. 148 Otto. *Μετὰ δὲ Ἴναχον ἐπὶ Φορωνέως μόγις τοῦ θηριώδους βίου καὶ νομάδος περιγραφὴ γέγονεν, μετεκοσμήθησάν τε οἱ ἄνθρωποι.* Paus. II, 15, 5 (4): *Φορωνεὺς δὲ ὁ Ἰνάχου τοὺς ἀνθρώπους συνήγαγε πρῶτον ἐς κοινόν, σποράδας τέως καὶ ἐφ' ἑαυτῶν ἑκάστοτε οἰκοῦντας· καὶ τὸ χωρίον ἐς ὃ πρῶτον ἠθροίσθησαν ἄστυ ὠνομάσθη Φορωνικόν.* Cf. Hygin. fab. 274: Phoroneus Inachi filius aram[1]) Iunoni primus fecit. Clem. Alex. Protrept. p. 13 (28 C) Sylb. 38 Pott. Paus. II, 19, 5: *Ἐς Φορωνέα τοῦ πυρὸς μετάγειν ἐθέλουσι τὴν εὕρεσιν.* — 20, 3: *Μετὰ δὲ αὐτὸ προελθοῦσιν ἐν δεξιᾷ Φορωνέως τάφος ἐστίν· ἐναγίζουσι δὲ καὶ ἐς ἡμᾶς ἔτι τῷ Φορωνεῖ.*

Subsidia: C. G. Mueller de cyclo p. 58—60. — Osann in Herm. Vol. XXXI (a. 1828) p. 206.

---

1.

*Πατέρα θνητῶν ἀνθρώπων.*

Clem. Alex. Strom. I p. 138 (321 A) Sylb. 380 Pott. *Ἀκουσίλαος γὰρ Φορωνέα πρῶτον ἄνθρωπον γενέσθαι λέγει, ὅθεν καὶ ὁ τῆς Φορωνίδος ποιητὴς εἶναι αὐτὸν ἔφη „πατέρα — ἀνθρώπων“.*

---

1) aram] sacra Hyg. fab. 143.

2.

"Ενθα γόητες
Ἰδαῖοι Φρύγες ἄνδρες ὀρέστεροι οἰκί' ἔναιον,
Κέλμις Δαμναμενεύς τε μέγας καὶ ὑπέρβιος Ἄκμων,
εὐπάλαμοι θεράποντες ὀρείης Ἀδρηστείης,
οἳ πρῶτοι τέχνην πολυμήτιος Ἡφαίστοιο
εὗρον ἐν οὐρείῃσι νάπαις, ἰόεντα σίδηρον,
ἐς πῦρ τ' ἤνεγκαν καὶ ἀριπρεπὲς ἔργον ἔδειξαν.

Schol. Laur. ad Apoll. Rhod. I, 1129 de Dactylis Idaeis disserens: Ὁ δὲ τὴν Φορωνίδα συνθεὶς γράφει οὕτως „ἔνθα — ἔδειξαν".

3.

Strab. X p. 471 sq.: Ὁ δὲ τὴν Φορωνίδα γράψας αὐλητὰς καὶ Φρύγας τοὺς Κουρῆτας λέγει.

4.

Καλλιθόη κλειδοῦχος ὀλυμπιάδος βασιλείης
Ἥρης Ἀργείης, ἣ στέμμασι καὶ θυσάνοισι
πρώτη κόσμησεν περὶ κίονα μακρὸν ἀνάσσης.

Clem. Alex. Strom. I p. 151 (348 D) Sylb. 418 Pott. Πρὶν γοῦν ἀκριβωθῆναι τὰς τῶν ἀγαλμάτων σχέσεις κίονας ἱστάντες οἱ παλαιοὶ ἔσεβον τούτους ὡς ἀφιδρύματα τοῦ θεοῦ. γράφει γοῦν ὁ τὴν Φορωνίδα ποιήσας· „Καλλιθόη — ἀνάσσης".

5.

Ἑρμείαν δὲ πατὴρ Ἐριούνιον ὠνόμασ' αὐτόν·
πάντας γὰρ μάκαράς τε θεοὺς θνητούς τ' ἀνθρώπους
κέρδεσι κλεπτοσύνῃσί τ' ἐκαίνυτο τεχνηέσσαις.

---

Fragm. V. 1. αὐτός Sturz. — 3. κλεπτοσύνῃσί τ' ἐκαίνυτο] Sic praeeunte Hemsterh. ed. Duentz. cf. Schneid. in Dind. Thes. Ling. Gr. III p. 1216 C; vulgo κλεπτοσύναις τ' ἐξαίνυτο.

Etym. M. p. 374, 18: *Ἐριούνιος· χθόνιος, ἀγαθός, πολυωφελής, κλέπτης, μέγας. ἔστι δὲ ἐπίθετον Ἑρμοῦ* ......... *ἢ ἀπὸ τῆς ἐρευνήσεως· καὶ γὰρ ὁ τὴν Φορωνίδα γράψας φησίν· „Ἑρμείαν — τεχνηέσσαις“.*

---

## HERACLEIDES.

### CINAETHO.

De Cinaethone cf. supra p. 196. — Schol. Laur. ad Apoll. Rhod. I, 1357: *ὅτι δὲ Κιανοὶ ὅμηρα ἔδοσαν Ἡρακλεῖ καὶ ὤμοσαν μὴ λήξειν ζητοῦντες Ὕλαν καὶ φροντίδα ἔχουσι Τραχινίων διὰ τὸ ἐκεῖσε κατοικισθῆναι ὑφ' Ἡρακλεῖ τοὺς ὁμηρεύσαντας, Κιναίθων*[1]) *ἱστορεῖ ἐν Ἡρακλείᾳ.*

---

## CONON.

Schol. Laur. ad Apoll. Rhod. I, 1165 [p. 373, 28]: *Κόνων*[2]) *δὲ ἐν τῇ Ἡρακλείᾳ φησὶν ὅτι Αἰγαίων καταγωνισθεὶς ὑπὸ Ποσειδῶνος κατεποντίσθη εἰς τὸ νῦν λεγόμενον ὑπὸ τοῦ Ἀπολλωνίου ἠρίον Αἰγαίωνος, τὸν αὐτὸν καὶ Βριάρεων καλῶν.* Quae transcripsit Eudocia p. 29, 12.

---

## DEMODOCUS.[3])

Plut. moral. p. 1161, A, B: *Τὸ μὲν Ἀπαίσαντον ἐκαλεῖτο πρότερον Σεληναῖον. Ἥρα γὰρ παρ' Ἡρα-*

---

1) *Κόνων* Bernhardy Hist. litt. graec. I p. 308. 2) *Κιναίθων* legendum esse susp. Keil. 3) Cf. Schol. ad Hom. Od. γ, 267: *Δημόδοκος Λάκων* ..... *ὃς ἦν πρῶτος δι' ἐπῶν γράψας*

κλέους δίκας βουλομένη λαβεῖν, συνεργον παρέλαβεν τὴν Σελήνην. Ἡ δὲ ἐπῳδαῖς χρησαμένη μάγοις, ἀφροῦ κίστην ἐπλήρωσεν, ἐξ ἧς γεννηθέντα λέοντα μέγιστον Ἶρις ταῖς ἰδίαις ζώναις ἐπισφίγξασα, κατήνεγκεν εἰς ὄρος Ὀφέλτιον· ὁ δὲ ποιμένα τινὰ τῶν ἐγχωρίων Ἀπαίσαντον σπαράξας ἀνεῖλεν· κατὰ δὲ θεῶν πρόνοιαν ὁ τόπος Ἀπαίσαντος ἀπ' αὐτοῦ μετωνομάσθη· καθὼς ἱστορεῖ Δημόδοκος ἐν α' Ἡρακλείας.[1])

## DIOTIMUS.[2])

1.

Athen. XIII p. 603 D: *Διότιμος δ' ἐν τῇ Ἡρακλείᾳ Εὐρυσθέα φησὶν Ἡρακλέους γενέσθαι παιδικά, διόπερ καὶ τοὺς ἄθλους ὑπομεῖναι.*

2.

*Κέρκωπες, τοὶ πολλὰ κατὰ τριόδους πατέοντες*

τὴν Ἀμφιτρύωνος πρὸς Τηλεβόας μάχην κτλ. — Plut. moral. p. 1132 B [Heraclides in συναγωγῇ τῶν ἐν μουσικῇ dicit] γεγονέναι δὲ καὶ Δημόδοκον Κερκυραῖον παλαιὸν μουσικὸν (cf. Clem. Al. Strom. I p. 397 Pott), ὃν πεποιηκέναι Ἰλίου τε πόρθησιν καὶ Ἀφροδίτης καὶ Ἡφαίστου γάμον. Phot. Bibl. p. 152$^{b}$ 35 Bekk.: Ἰλίου ἅλωσιν Δημοδόκου ποίησιν. Suid. v. ἀοιδός [I, 1 p. 849 Bernh.]. Δημόδοκος ᾄδει τὴν Ἀφροδίτης καὶ Ἄρεος συνουσίαν (= Od. ϑ 266 sqq.).

1) „Nullus omnino fuit" Bergk Poett. lyrr. p. 443.

2) Macrob. Sat. V, 20: Arati etiam liber fertur ἐλεγείων in quo de Diotimo quodam poeta sic ait αἰάζω Διότιμον, ὃς ἐν πέτρῃσι κάθηται | Γαργαρέων παισὶν βῆτα καὶ ἄλφα λέγων [Eustath. ad Il. p. 986, 48 sq. Rom. 978 Bas.]. — Γραμματιστὴν hunc a poeta nostro non diversum fuisse censet Bergk de rell. com. att. p. 24.

Fragm. II. 1. Legebatur Κέρκωπές τοι; corr. Meineke Com. Gr. Fr. II, 1 p. 25. — Κέρκωπές ϑ' οἳ Bergk de rell. com. att.

*Βοιωτῶν σίνοντο· γένος δ' ἔσαν Οἰχαλιῆες,*
*Ὦλός τ' Εὐρύβατός τε, δύω βαρυδαίμονες ἄνδρες.*

Suid v. *Εὐρύβατος* [1, 2 p. 645 Bernh.]· *Διότιμος Ἡρακλέους ἄθλοις·* „*Κέρκωπες — ἄνδρες*". Eosdem versus affert Mich. Apost. IX, 33 (= VIII, 12 Leutsch); v. 3 laudat Schol. Vind. ad Lucian. Alex. 4 (Vol. IV p. 139 Jacobitz). Cf. supra p. 69 sq. Lobeck. Aglaoph. p. 1297. Osann Symb. I p. 302 sqq.

---

## PHAEDIMUS.[1])

*Δουράτεον σκύφος εὐρὺ μελιζώροιο ποτοῖο.*

Athen. IX p. 498 F: *Φαίδιμός τε ἐν πρώτῳ Ἡρακλείας* „*δουράτεον — πότοιο*".

---

## PISINUS.

Multi scriptores graeci, teste Clem. Alex. Strom. VI p. 266 (628 B) Sylb. 751 Pott. aliorum opera expilaverunt: *αὐτοτελῶς γὰρ τὰ ἑτέρων ὑφελόμενοι, ὡς ἴδια ἐξήνεγκαν, καθάπερ ..... Πείσανδρος Καμιρεὺς Πισίνου τοῦ Λινδίου τὴν Ἡράκλειαν.* Cf. Welck. Cycl. ep. I p. 311, 17. Lobeck Aglaoph. p. 310.

---

p. 24. — 3. *σύλλοι τε τρίβαλλοί τε δύο κτλ.* Schol. ad Luc. — *Σίλλος* (pro *Ὦλος*) veram lect. esse statuit Osann Symb. I, 302. Cf. Meinek. l. l. — *βαρυδαίμονε ἄνδρε* Apost.

1) Cf. Steph. Byz. v. *Βισάνθη· Φαίδιμος ἐλεγείων ποιητὴς Βισανθηνὸς ἢ Ἀμαστριανὸς ἢ Κρωμνίτης.*

BODLEIANA BIBLIOTHECA

## INCERTI POETAE FRAGMENTUM.

*Φολὶς δ' ἀπέλαμπε φαεινὴ*
*ἄλλοτε μὲν κυανοῦ, τοτὲ δ' ἄνθεσιν εἴσατο χαλκοῦ.*

Schol. ad Nicand. Ther. 257 p. 66 Schneid.: *Τὸ δὲ ἐμφερὲς ὅμοιον τῷ ἐν τῇ Ἡρακλείᾳ· „φολὶς — χαλκοῦ"*. Panyasidis hos versus esse suspicatur Meineke Diss. Acad. Berol. a. 1832 p. 105.

---

## MINYAS.

Minyadis auctor victoriam, quam Hercules de Minyis reportavit, Orchomenique expugnationem narravit. Cf. Welck. Cycl. ep. I p. 253 sqq. — Paus. IV, 33, 7: *Πρόδικος δὲ Φωκαεύς, εἰ δὴ τούτου τὰ ἐς τὴν Μινυάδα ἔπη κτλ.* Philodem. de pietate p. 7 Gomp.: *ὁ τὴν Μινυάδα γράψας* cf. fr. 6.

---

1.

*Ἔνθ' ἤτοι νέα μὲν νεκυάμβατον, ἣν ὁ γεραιὸς*
*πορθμεὺς ἦγε Χάρων, οὐκ ἔλλαβον ἔνδοθεν ὅρμου.*

Paus. X, 28, 2 (1): *Ἐπηκολούθησε δὲ ὁ Πολύγνωτος ἐμοὶ δοκεῖν ποιήσει Μινυάδι· ἔστι γὰρ δὴ ἐν τῇ Μινυάδι ἐς Θησέα ἔχοντα καὶ Πειρίθουν· „ἔνθ' — ὅρμου". ἐπὶ τούτῳ οὖν καὶ Πολύγνωτος γέροντα ἔγραψεν ἤδη τῇ ἡλικίᾳ τὸν Χάρωνα.* Cf. Welck. l. l. p. 258 sq.

2.

Paus. X, 28, 7 (4): *Ἡ δὲ Ὁμήρου ποίησις ἡ ἐς Ὀδυσσέα καὶ ἡ Μινυάς τε καλουμένη καὶ οἱ Νόστοι,*

*μνήμη γὰρ ἐν ταύταις καὶ Ἅιδου καὶ τῶν ἐκεῖ δειμάτων ἐστίν, ἴσασιν οὐδένα Εὐρύνομον δαίμονα.* Cf. Welck. p. 255.

3.

Paus. IX, 5, 8 sq. (4): *Λέγεται δὲ καὶ ὡς ἐν Ἅιδου δίκην δίδωσιν Ἀμφίων ὧν ἐς Λητὼ καὶ τοὺς παῖδας καὶ αὐτὸς*[1]) *ἀπέρριψε· κατὰ δὲ τὴν τιμωρίαν τοῦ Ἀμφίονος ἔστι ποιήσεως Μινυάδος, ἔχει δὲ ἐς Ἀμφίονα κοινῶς καὶ ἐς τὸν Θρᾷκα Θάμυριν.* Cf. Welck. p. 258.

4.

Paus. IV, 33, 7: *Πρόδικος δὲ Φωκαεύς, εἰ δὴ τούτου τὰ ἐς τὴν Μινυάδα ἔπη, προσκεῖσθαί φησι Θαμύριδι ἐν Ἅιδου δίκην τοῦ ἐς τὰς Μούσας αὐχήματος.*

5.

Paus. X, 31, 3 (2): *Ἐς δὲ τοῦ Μελεάγρου τὴν τελευτὴν Ὁμήρῳ μέν ἐστιν εἰρημένα ὡς ἡ Ἐρινὺς καταρῶν ἀκούσαι τῶν Ἀλθαίας καὶ ἀποθάνοι κατὰ ταύτην ὁ Μελέαγρος τὴν αἰτίαν· αἱ δὲ Ἠοῖαί τε καλούμεναι καὶ ἡ Μινυὰς ὡμολογήκασιν ἀλλήλαις· Ἀπόλλωνα γὰρ δὴ αὗταί φασιν αἱ ποιήσεις ἀμῦναι Κούρησιν ἐπὶ τοὺς Αἰτωλούς, καὶ ἀποθανεῖν Μελέαγρον ὑπὸ Ἀπόλλωνος.*

6.

Philodem. *περὶ εὐσ.* p. 7 Gomp.: *Φερεκύδ[ης κα]ταοξευθέ[ντα τε]λευτῆσαί φη[σιν, Ὠ]ρίωνα δὲ* ........[2])

1) *καὶ αὐτός*] Fort. *αὐτῆς*. 2) *Ὅμηρος* suppl. Gomperz; cf. Od. *λ*, 572 sqq.

λέγει καὶ ὁ τὴ[ν Μι]νυάδα γράψ[ας .............. .................. τ]ὸν Ἡρακλέα ...... [τ]ετελευτη-[κέν]αι φησί.

---

THESEIDES.

Aristot. Poet. c. 8 [p. 1451ᵃ 16]: *Μῦθος δ' ἐστὶν εἷς, οὐχ ὥσπερ τινὲς οἴονται, ἐὰν περὶ ἕνα ᾖ· πολλὰ γὰρ καὶ ἄπειρα τῷ γένει συμβαίνει, ἐξ ὧν ἐνίων οὐδέν ἐστιν ἕν· οὕτω δὲ καὶ πράξεις ἑνὸς πολλαί εἰσιν, ἐξ ὧν μία οὐδεμία γίνεται πρᾶξις. διὸ πάντες ἐοίκασιν ἁμαρτάνειν, ὅσοι τῶν ποιητῶν Ἡρακληίδα καὶ Θησηίδα καὶ τὰ τοιαῦτα ποιήματα πεποιήκασιν· οἴονται γὰρ ἐπεὶ εἷς ἦν ὁ Ἡρακλῆς, ἕνα καὶ τὸν μῦθον εἶναι προσήκειν.*

Plut. Thes. 28: *Ἦν γὰρ ὁ τῆς Θησηίδος ποιητὴς Ἀμαζόνων ἐπανάστασιν γέγραφε, Θησεῖ γαμοῦντι Φαίδραν τῆς Ἀντιόπης ἐπιτιθεμένης καὶ τῶν μετ' αὐτῆς Ἀμαζόνων ἀμυνομένων καὶ κτείνοντος αὐτὰς Ἡρακλέους, περιφανῶς ἔοικε μύθῳ καὶ πλάσματι.*

Schol. ad Pind. Ol. III, 52 *χρυσόκερων ἔλαφον] θήλειαν δὲ εἶπε καὶ χρυσόκερων ἀπὸ ἱστορίας*[1]). *ὁ γὰρ Θησηίδα γράψας τοιαύτην αὐτὴν λέγει καὶ Πείσανδρος ὁ Καμειρεὺς καὶ Φερεκύδης.*

Schol. ad Pind. Ol. X (XI), 83 p. 253 Boeckh. *Ἀριστόδημος δέ φησι ...... Σῆμον δέ τινα νῦν νενικηκέναι ἅρματι, ὥς φησι Δίφιλος ὁ τὴν Θη-*

---

1) *ἱστορίας*] Vulgo *Ἰστρίας*; corr. Schubart in Ephem. litt. Hal. a. 1840. Vol. I p. 526.

*σηίδα ποιήσας ἔν τινι ἰαμβείῳ οὕτω· „τρέψας δὲ πώλους, ὡς ὁ Μαντινεὺς Σῆμος, | ὃς πρῶτος ἅρματ' ἤλασεν παρ' Ἀλφειῷ“.*

---

## THESPROTIS.

Paus. VIII, 12, 5 (3): *Ἐπὶ δὲ ὁδοῖς ταῖς κατειλεγμέναις δύο ἐς Ὀρχομενόν εἰσιν ἄλλαι, καὶ τῇ μέν ἐστι καλούμενον Λάδα στάδιον ...... καὶ ἐν δεξιᾷ τῆς ὁδοῦ γῆς χῶμα ὑψηλόν· Πηνελόπης δὲ εἶναι τάφον φασίν, οὐχ ὁμολογοῦντες τὰ ἐς αὐτὴν ποιήσει τῇ Θεσπρωτίδι ὀνομαζομένῃ. Ἐν ταύτῃ μέν γέ ἐστι τῇ ποιήσει ἐπανήκοντι ἐκ Τροίας Ὀδυσσεῖ τεκεῖν τὴν Πηνελόπην Πτολιπόρθην παῖδα.* Cf. Welck. Cycl. ep. I (1835) p. 312.

---

## MUSAEUS.

Suid. v. *Μουσαῖος* (II, 1 p. 890 Bernh.): *Ἐλευσίνιος, ἐξ Ἀθηνῶν, υἱὸς Ἀντιφήμου (τοῦ Εὐφήμου, τοῦ Ἐκφάντου, τοῦ Κερκυῶνος, ὃν κατεπολέμησεν ὁ Θησεὺς) καὶ Ἑλένης γυναικός· ἐποποιός, μαθητὴς Ὀρφέως, μᾶλλον δὲ πρεσβύτερος. ἤκμαζε γὰρ κατὰ τὸν δεύτερον Κέκροπα, καὶ ἔγραψεν Ὑποθήκας Εὐμόλπῳ τῷ υἱῷ, ἔπη ͵δ. καὶ ἄλλα πλεῖστα.* Eudoc. p. 303.

Paus. X, 5, 6 (3): *Μουσαίῳ δὲ τῷ Ἀντιοφήμου προσποιοῦσι τὰ ἔπη.* Cf. X, 12, 11 (5). Schol. ad Soph. Oed. Col. 1051. Orph. Argon. 306 (310).

Diog. Laert. I. prooem. § 3: *Ἰδοὺ γοῦν παρὰ μὲν*

*Ἀθηναίοις γέγονε Μουσαῖος ..... καὶ τὸν μὲν Εὐμόλπου παῖδά φασι.* Philoch. in Schol. ad Ar. Ran. 1033. Hieron. ad Euseb. Chron. p. 88 Scal. 47 Schoen.

Serv. ad Verg. Aen. VI, 667: Eum alii Lunae (Lini) filium, alii Orphei volunt, cuius eum constat fuisse discipulum. Cf. Paus. X, 7, 2. Diod. IV, 24. Tatian. or. ad Gr. 41 § 62 p. 158 Otto. [Euseb. Praep. Ev. X, 11 p. 495 D.]

Plat. Republ. II p. 364 E: *Βίβλων δὲ ὅμαδον παρέχονται Μουσαίου καὶ Ὀρφέως, Σελήνης τε καὶ Μουσῶν ἐγγόνων, ὥς φασι.* Ps.-Orph. ap. Clem. Alex. Protr. p. 21 sq. (48 C) Sylb. 63 Pott.: [cf. Justin. Mart. de monarchia Dei p. 82]: *σὺ δ' ἄκουε, φαεσφόρου ἔκγονε μήνης | Μουσαῖ'.* Procl. in Plat. Tim. p. 34 E [Bas. 1534]. 79 Schneid. *Εἴτε οὖν Γῆς υἱὸν τὸν Τιτυόν, εἴτε Ἡλίου τὸν Φαέθοντα λέγοιεν, εἴτε Σελήνης τὸν Μουσαῖον εἴτε ἄλλου τινὸς οἱ μυθοπλάσται.* Cf. p. 51 B (117 Schneid.): *Ἐπείπερ καὶ ἀπὸ Μουσαίου τοῦ Σεληνιακοῦ τὸ γένος τοῖς ἐν Ἐλευσῖνι τῶν μυστηρίων ἡγουμένοις*, et p. 326 C. Philochor. ap. Schol. ad Aristoph. Rom. 1033. Hermesianax ap. Athen. XIII p. 597 C.

Aristot. Mirab. Auscult. 131 [p. 843[b] 1]: *Φασὶν οἰκοδομούντων Ἀθηναίων τὸ τῆς Δήμητρος ἱερὸν τῆς ἐν Ἐλευσῖνι περιεχομένην στήλην πέτραις εὑρεθῆναι χαλκῆν, ἐφ' ἧς ἐπεγέγραπτο „Δηιόπης τόδε σῆμα", ἣν οἱ μὲν λέγουσι Μουσαίου εἶναι γυναῖκα, τινὲς δὲ Τριπτολέμου μητέρα γενέσθαι.* Hermesianax ap. Athen. l. l.: *Οὐ μὴν οὐδ' υἱὸς Μήνης ἀγέραστον ἔθηκε | Μουσαῖος χαρίτων ἤρανος Ἀντιόπην, | ἥ τε πολὺν*

*μύστησιν Ἐλευσῖνος παρὰ πέζαν | εὐασμὸν κρυφίων ἐξεφόρει λογίων, | Ῥάριον ὀργειῶνι νόμῳ διαποιπνύουσα | Δήμητρι· γνωτὴ δ' ἐστὶ καὶ εἰν ἀίδῃ.*

Diog. Laert. prooem. § 3: *Τοῦτον* (sc. *τὸν Μουσαῖον*) *τελευτῆσαι Φαληροῖ, καὶ αὐτῷ ἐπιγεγράφθαι τόδε τὸ ἐλεγεῖον· Εὐμόλπου φίλον υἱὸν ἔχει τὸ Φαληρικὸν οὖδας, | Μουσαῖον φθίμενον σῶμ', ὑπὸ τῷδε τάφῳ.*

Paus. I, 25, 8 (6): *Ἔστι δὲ ἐντὸς τοῦ περιβόλου τοῦ ἀρχαίου τὸ Μουσεῖον, ἀπαντικρὺ τῆς ἀκροπόλεως λόφος, ἔνθα Μουσαῖον ᾄδειν καὶ ἀποθανόντα γήρᾳ ταφῆναι λέγουσιν.*

---

Musaeo tribuuntur[1])

1. *Ἀκέσεις νόσων.* Aristoph. Ran. 1033. Eustath. ad Il. prooem. p. 4 Rom. 3 Bas. — Cf. Passow p. 44 sq.

2. *Εὐμολπία.* Paus. X, 5, 6 (3). Suid. v. *Μουσαῖος* (supra p. 218). — Passow p. 49—51.

3. *Θεογονία.* Diog. Laert. prooem. § 3 (infra p. 229). — [Pompon. Sab. ad Verg. Aen. VI, 667.] — Passow p. 47 sq.

4. *Περὶ Θεσπρωτῶν.* Clem. Alex. Strom. VI p. 266 (628 B) Sylb. 751 Pott. (cf. supra p. 58.) — Passow p. 56 sq.

---

1) Plato Rep. II p. 364 E: *βίβλων δὲ ὅμαδον παρέχονται Μουσαίου καὶ Ὀρφεώς, Σελήνης τε καὶ Μουσῶν ἐγγόνων, ὥς φασι*, ubi Schol. [p. 150 Ruhnk. 398 Bekk.]: *βίβλων*] *περὶ ἐπῳδῶν καὶ καταδέσμων καὶ καθαρσίων καὶ μειλιγμάτων καὶ τῶν ὁμοίων.* Cf. Pausan. I, 22, 7: *Ἔστιν οὐδὲν Μουσαίου βεβαίως ὅτι μὴ μόνον ἐς Δήμητρα ὕμνος Λυκομίδαις.*

5. *Καθαρμοί.* Schol. ad Aristoph. Ran. 1033.[1]) Passow p. 41—43.

6. *Κρατήρ.* Serv. ad Verg. Aen. VI, 667. — Passow p. 51 sq.

7. *Παραλύσεις.* Schol. ad Aristoph. Ran. 1033. — Passow p. 43 sq.

8. *Σφαῖρα.* Diog. Laert. I. prooem. § 3. — Passow p. 45—47.

9. *Τελεταί.* Plat. Rep. II p. 364 E, cf. Protag. cap. 8 p. 316 D., ubi τελεταί τε καὶ χρησμῳδίαι afferuntur. Schol. ad Aristoph. Ran. 1033. Cf. Diod. IV, 24 extr. Paus. X, 7, 2. Chalcid. comm. in Plat. Tim. p. 220 Meurs. 210 Mullach.: Simul exponit ea, quae Orpheus et Linus et Musaeus de divinis potestatibus vaticinati sunt. — Passow p. 39—41.

10. *Τιτανογραφία.* Schol. ad Apoll. Rhod. III, 1179. Eudoc. p. 248. — Passow p. 48 sq.

11. *Ὕμνοι.* — 1) Hymnus in Bacchum. Aristid. or. 4 p. 28 Iebb. 47 Dind. *Τοὺς μὲν οὖν τελέους ὕμνους τε καὶ λόγους περὶ Διονύσου Ὀρφεῖ καὶ Μουσαίῳ παρῶμεν.* — Passow p. 55 sq. — 2) Hymnus in Cererem. Paus. IV, 1, 5 (4). I, 22, 7. — Passow p. 52—55.

12. *Χρησμοί.* Herodot. VII, 6. VIII, 96. Aristoph. Ran. 1033. Plat. ll. ll. cf. Apol. Socr. p. 41 A. Ion. p. 536 B. Strab. XVI p. 762. Philostr. Heroic. cap. 19 p. 693 Olear. 301 Kays. (*Μουσαῖον δ' ἐν ᾠδαῖς*

---

1) Cf. Oenom. ap. Euseb. Praep. Ev. V, 31 p. 226 C: Ὡς μὴ μᾶλλον τῆς Κρήτης σὺ καθαρμοῦ προσδέῃ, Ὀρφικούς τινας ἢ Ἐπιμενιδείους καθαρμοὺς φανταζόμενος.

*χρησμῶν*). — Cf. Paus. X, 9, 11 (5). 12, 11 (5). Schol. ad Aristoph. Ran. 1033. — Passow p. 34—39. —

---

Paus. I, 14, 3 (2): *Ἔπη δὲ ᾄδεται Μουσαίου μέν, εἰ δὴ Μουσαίου καὶ ταῦτα, Τριπτόλεμον παῖδα Ὠκεανοῦ καὶ Γῆς εἶναι.* Cf. I, 22, 7: *Ἐγὼ δὲ ἔπη μὲν ἐπελεξάμην ἐν οἷς ἐστὶ πέτεσθαι Μουσαῖον ὑπὸ Βορέου δῶρον, δοκεῖν δέ μοι, πεποίηκεν αὐτὰ Ὀνομάκριτος, καὶ ἔστιν οὐδὲν Μουσαίου βεβαίως ὅτι μὴ μόνον ἐς Δήμητρα ὕμνος Λυκομίδαις.*

De oraculorum auctore Clem. Alex. Strom. I p. 144 (332 D) Sylb. 397 Pott. *Καὶ τοὺς μὲν ἀναφερομένους εἰς Μουσαῖον χρησμοὺς Ὀνομακρίτου εἶναι λέγουσι.* Cf. Herodot. VII, 6. Tatian. or. ad Graec. 41 § 62 p. 158 Otto.

---

Herodot. II, 53: *Ἡσίοδον γὰρ καὶ Ὅμηρον ἡλικίην τετρακοσίοισι ἔτεσι δοκέω μεν πρεσβυτέρους γενέσθαι ...... οἱ δὲ πρότερον ποιηταὶ λεγόμενοι τούτων τῶν ἀνδρῶν γενέσθαι ὕστερον, ἔμοιγε δοκέειν, ἐγένοντο.* Cf. Ioseph. c. Apion. I, 2.

---

Subsidia. Passow Musaeos. Lips. 1810. p. 3—88. — Lobeck Aglaoph. p. 332 sqq. — Mullach de Musaeo (Fragmm. Philos. Graec. I [Par. 1860] p. 158—161). — Eberhard De Pampho et Musaeo. Monast. 1864.

---

## EUMOLPIA.

1.

*Αὐτίκα δὲ Χθονίη σφῶν δὴ πινυτὸν φάτο μῦθον,*
*σὺν δέ τε Πύρκων ἀμφίπολος κλυτοῦ Ἐννοσιγαίου.*

Paus. X, 5, 6 (3): *Ἔστι δὲ ἐν Ἕλλησι ποίησις, ὄνομα μὲν τοῖς ἔπεσίν ἐστιν Εὐμολπία, Μουσαίῳ δὲ τῷ Ἀντιοφήμου προσποιοῦσι τὰ ἔπη· πεποιημένον οὖν ἐστὶν ἐν τούτοις Ποσειδῶνος ἐν κοινῷ καὶ Γῆς εἶναι τὸ μαντεῖον, καὶ τὴν μὲν χρᾶν αὐτήν, Ποσειδῶνι δὲ ὑπηρέτην ἐς τὰ μαντεύματα εἶναι Πύρκωνα. καὶ οὕτως ἔχει τὰ ἔπη· „αὐτίκα — Ἐννοσιγαίου“.*

---

## HYMNUS IN CEREREM.

2.

Paus. IV, 1, 5 (4): *Πρῶτοι δ' οὖν βασιλεύουσιν ἐν τῇ χώρᾳ ταύτῃ* (sc. *τῇ Μεσσήνῃ*) *Πολυκάων τε ὁ Λέλεγος καὶ Μεσσήνη γυνὴ τοῦ Πολυκάονος. παρὰ ταύτην τὴν Μεσσήνην τὰ ὄργια κομίζων τῶν μεγάλων Θεῶν Καύκων ἦλθεν ἐξ Ἐλευσῖνος ὁ Κελαίνου τοῦ* **Φλυοῦ**. **Φλυὸν** *δὲ αὐτὸν Ἀθηναῖοι λέγουσι παῖδα εἶναι Γῆς· ὁμολογεῖ δέ σφισι καὶ ὕμνος Μουσαίου Λυκομίδαις ποιηθεὶς ἐς Δήμητρα.* Cf. I, 22, 7.

---

Fragm. I. 1. Legebatur *χθονίης*. — *Χθονίης* edd. recc.; *Χθονίη* Mullach; *χθονίοις* Passow. — *σφὸν* Sylburg. — *δή*] *Γῆ* Passow.

## MORBORUM CURATIONES.

3.

Plin. N. H. XXI, 20 § 145: Polio Musaeus et Hesiodus perungui iubent dignationis gloriaeque avidos. Cf. XXI, 7 § 44. XXV, 2 § 12. Theophr. Hist. Plant. IX, 23 St. (19, 2 Wimmer).

V. Hesiodi fragmm. 192. 193 (supra p. 160).

---

## ORACULA.

4.

Herodot. VIII, 96: *Τῶν δὲ ναυηγίων πολλὰ ὑπολαβὼν ἄνεμος ζέφυρος ἔφερε τῆς Ἀττικῆς ἐπὶ τὴν ἠιόνα τὴν καλεομένην Κωλιάδα. ὥστε ἀποπλησθῆναι τὸν χρησμὸν τόν τε ἄλλον πάντα τὸν περὶ τῆς ναυμαχίης ταύτης εἰρημένον Βάκιδι καὶ Μουσαίῳ καὶ δὴ καὶ κτλ.*

5.

*Καὶ γὰρ Ἀθηναίοισιν ἐπέρχεται ἄγριος ὄμβρος*
*ἡγεμόνων κακότητι· παραιφασίη δέ τις ἔσται,*
*. . . . . . . . . . ἡμύσουσι πόλιν, τίσουσι δὲ ποινήν.*

Paus. X, 9, 11 (5): *Τὴν δὲ πληγὴν Ἀθηναῖοι τὴν ἐν Αἰγὸς ποταμοῖς οὐ μετὰ τοῦ δικαίου συμβῆναί σφισιν ὁμολογοῦσι· προδοθῆναι γὰρ ἐπὶ χρήμασιν ὑπὸ τῶν στρατηγησάντων, Τυδέα δὲ εἶναι καὶ Ἀδείμαντον οἱ*

---

Fragm. V. 3. Locus corruptus. „Codices monstra producunt; in ηπαλοισ quo codd. plerique alludunt (ad ηγαλις alii), ἥττης invenit Bergkius conferens Syriani locum in Rhet. Gr. ed. Walz IV, 569“. Schubart in editione novissima Vol. II p. XXI sq. — Ἑλλάδος — πόλεις Mullach.

τα δῶρα ἐδέξαντο παρὰ Λυσάνδρου. καὶ ἐς ἀπόδειξιν τοῦ λόγου Σιβύλλης παρέχονται τῶν χρησμῶν ....... τα δὲ ἕτερα ἐκ Μουσαίου χρησμῶν μνημονεύουσι· „καὶ — ποινήν“.

---

## THEOGONIA.

### 6.

Philodem. περὶ εὐσεβ. p. 61 Gomperz. ἐν δὲ τοῖς [ἀνα]φερομένοις εἰς [Μο]υσαῖον γέγραπται [Τάρτ]αρον πρῶτον [τὴν Ν]ύκτα καὶ [........... γεννῆσαι?]

### 7.

Ps.-Eratosth. Catast. 13 p. 11 Schaubach. Ἐσχημάτισται δ' ἐν τούτῳ ἡ αἴξ καὶ οἱ ἔριφοι. Μουσαῖος γάρ φησι Δία γεννώμενον ἐγχειρισθῆναι ὑπὸ Ῥέας Θέμιδι, Θέμιν δὲ Ἀμαλθείᾳ δοῦναι τὸ βρέφος, τὴν δὲ ἔχουσαν αἶγα ὑποθεῖναι, τὴν δ' ἐκθρέψαι Δία.[1]) Eadem narrant Hygin. Astron. II, 13 p. 449 Stav. (48 Bunte). Interpr. Germ. Arat. 157 sqq. p. 73 Breysig. Cf. Schol. Strozz., quod edidit Breysig p. 133 editionis suae.

### 8.

Schol. ad Pind. Ol. VII, 66: Ἐν τοῖς Μουσαίου Παλαμάων λέγεται πλῆξαι τοῦ Διὸς τὴν κεφαλήν, ὅτε τὴν Ἀθηνᾶν ἐγέννα.

---

1) In codd. pergitur: τὴν δὲ αἶγα εἶναι Ἡλίου θυγατέρα, φοβερὰν οὕτως κτλ. Haec ex alio fonte hausta esse viderunt Koppiers Heyne alii; cf. Schol. Strozz. ad Germ. Arat. p. 133: Musaeus de capra hoc refert ........ esse autem hanc capellam Solis filiam dicunt.

9.

Schol. Laur. ad Apoll. Rhod. III, 1035: *Μουσαῖος ἱστορεῖ Δία ἐρασθέντα Ἀστερίας μιγῆναι καὶ μιγέντα δοῦναι αὐτὴν τῷ Περσεῖ.* Cf. ad III, 467.

10.

Schol. Laur. ad Apoll. Rhod. III, 1: *Ἐν δὲ τοῖς εἰς Μουσαῖον ἀναφερομένοις δύο ἱστοροῦνται γενέσεις Μουσῶν, πρεσβυτέρων μὲν μετὰ Κρόνου,*[1]) *νεωτέρων δὲ τῶν*[2]) *ἐκ Διὸς καὶ Μνημοσύνης.*

11.

Paus. I, 14, 3 (2): *Ἔπη δὲ ᾄδεται Μουσαίου μέν, εἰ δὴ Μουσαίου καὶ ταῦτα, Τριπτόλεμον παῖδα Ὠκεανοῦ καὶ Γῆς εἶναι.*

12.

Hygin. Astron. II, 21 p. 469 Stav. (62 Bunte). Pliades autem appellatae sunt, ut ait Musaeus, quod ex Atlante et Aethra[3]) Oceani filia sint filiae XV procreatae, quarum V Hyades appellatas demonstrat, quod earum Hyas fuerit frater, a sororibus plurimum dilectus. Qui cum venans a leone esset interfectus, quinque, de quibus supra diximus, lamentationibus assiduis permotae, dicuntur interisse; quare eas, quod plurimum de eius morte laborarent, Hyadas appellatas. Reliquas autem decem sorores deliberasse de sororum morte et earum septem mortem sibi conscisse; quare quod plures idem senserint, Pliadas dictas.

Schol. ad Germ. Arat. 174 sqq. p. 75 Breysig. Musaeus ita refert: Hya ex Oceano procreavit filias duo-

---

1) *πρεσβυτέρων — Κρόνου*] *τῶν τε πρότερον μετὰ τοῦ Κρ. γενομένων* Schol. Par. 2) *καὶ τῶν ὕστερον* Par. 3) Aethra] Sic ed. Bunte, adnotans inter aethra, electra, plione et plutone fluctuare libros scriptos.

decim. Ex quibus quinque stellis figuratas Hyadas, septem autem Pliades. His unus fuit frater Hyas, quem omnes sorores dilexere. Quem in venatu alii ab leone, alii ab apro interfectum dicunt. Quae flentes eum obierunt, Pliades nuncupatas, alias Hyades. — Schol. Strozz. ad loc. p. 136 Breysig. Musaeus ita refert: Hya ex Atlante XII filias procreavit etc. .......... E quibus V stellis figuratas Hyadas appellarunt, septem autem Pliadas. — Contra p. 150: Musaeus autem refert filias Atlantis fuisse VII.

Cf. Serv. ad Verg. Georg. I, 138. Scholl. Bernens. ad Verg. p. 857 Hagen.

Schol. ad Arat. Phaen. 172: *οὐκ ἀνωνύμως, φησί, φέρονται αἱ Ὑάδες ἐν τῷ μετώπῳ τοῦ Ταύρου. Θαλῆς μὲν οὖν β' αὐτὰς εἶπεν εἶναι, τὴν μὲν βόρειον τὴν δὲ νότιον, Εὐριπίδης δὲ ἐν τῷ Φαέθοντι γ', Ἀχαιὸς δὲ δ', Μουσαῖος δὲ ε'*[1]), *Ἱππίας δὲ καὶ Φερεκύδης ζ'.*

13.

Philodem. *περὶ εὐσεβ.* p. 47 Gomperz ........[2]) *ἐστὶ τέτταρας ἔχων ὀφθαλμούς· Μουσαῖος δὲ τὸν* .......[3]) *φησὶ τέτταρας Αἰθί[οπ]ας καὶ βασιλεῖς [Μερ]όπων* (?) *ἐκ Κελαι[νο]ῦς γεννῆσαι τῆς [Ἄτ]λαντος.*

14.

Schol. Laur. ad Apoll. Rhod. III, 1377: *περὶ τῶν διατρεχόντων ἀστέρων καὶ ῥαδίως ἀφανιζομένων τὸν λόγον ποιεῖται, οἳ τῇ τῆς ὀξύτητος φορᾷ παραπλήσιόν τι ἔχουσιν ὑποβούλημα. ὁλκὸν δὲ λέγει τὸ διὰ τὴν ὀξύτητα παρασυρόμενον αὐτῷ φέγγος. τὰς δὲ τοιαύ-*

---

1) *Μουσαῖος δὲ ε'*] Haec in editt. nostris desunt. Supplevi e codd. Marc. 476 et Laur. XXVIII. 37. — 2) Exciderunt nonnulla. — 3) *αὐτὸν* suppl. Gomperz.

τας φαντασίας ὁ Μουσαῖος ἀναφερομένας φησὶν ἐκ τοῦ ὠκεανοῦ κατὰ τὸν αἰθέρα ἀποσβέννυσθαι. τοὺς δὲ ὑπὸ Μουσαίου ἀστέρας εἰρημένους Ἀπολλώνιος πιθανῶς μαρμαρυγὰς εἴρηκε.

15.

Schol. Laur. ad Apoll. Rhod. IV, 156: *Ἡ δὲ ἄρκευθος δένδρον τι ἀκανθῶδες Ἀπόλλωνος ἴδιον, ὡς ἱστορεῖται ἐν τρίτῳ τῶν εἰς Μουσαῖον ἀναφερομένων.* Fragmentum hoc ad Theogoniam retulit Passow.

16.

Harpocrat. v. *Μελίτη· κεκλῆσθαι δέ φησι τὸν δῆμον Φιλόχορος ἐν γ΄ ἀπὸ Μελίτης θυγατρὸς κατὰ μὲν Ἡσίοδον Μύρμηκος, κατὰ δὲ Μουσαῖον Δίου τοῦ Ἀπόλλωνος.* Cf. Phot. v.

---

## TITANOGRAPHIA (TITANOMACHIA).

17.

Lactant. Instit. Div. I, 21: Huius capellae (sc. Amaltheae) corio usum esse pro scuto Iovem contra Titanas dimicantem Musaeus auctor est, unde a poetis *αἰγίοχος* nominatur. Cf. Schol. ad Arat. 156.

18.

Schol. Laur. ad Apoll. Rhod. III, 1179: *Ἐν δὲ τῇ γ΄ τῆς Μουσαίου*[1]) *Τιτανογραφίας*[2]) *λέγεται ὡς Κάδμος*

1) *τῆς Μουσαίου*] *Μουσαῖος* cod. Laur.; correxi cod. Flor. ope (cf. Keil in praefat. ad Scholl. p. 301). 2) *τῶν εἰς Μουσαῖον ἀναφερομένων περὶ Τιτανομαχίας* maluit Passow p. 73.

*ἐκ τοῦ Δελφικοῦ ἐπορεύετο προκαθηγουμένης αὐτῷ τῆς βοός.* Quae exscripsit Eudoc. p. 248.

---

## INCERTAE SEDIS FRAGMENTA.

### 19.

Diog. Laert. prooem. § 3: *Καὶ τὸν μὲν (Μουσαῖον) . . . . φάναι τε ἐξ ἑνὸς τὰ πάντα γίνεσθαι καὶ εἰς ταὐτὸν ἀναλύεσθαι.* Cf. Philodem. *περὶ εὐσ.* p. 80 Gomperz.

### 20.

Plato Rep. II. postquam versus Hesiodi (Opp. 233 sq.) et Homeri (Od. *τ* 109. 111—113) laudavit, p. 363 C. sic pergit: *Μουσαῖος δὲ τούτων νεανικώτερα τἀγαθὰ καὶ ὁ υἱὸς αὐτοῦ παρὰ θεῶν διδόασι τοῖς δικαίοις· εἰς Ἅιδου γὰρ ἀγαγόντες τῷ λόγῳ καὶ κατακλίναντες καὶ συμπόσιον τῶν ὁσίων κατασκευάσαντες ἐστεφανωμένους ποιοῦσι τὸν ἅπαντα χρόνον ἤδη διάγειν μεθύοντας, ἡγησάμενοι κάλλιστον ἀρετῆς μισθὸν μέθην αἰώνιον.*

### 21.

*Ὃς τρία μὲν τίκτει, δύο δ' ἐκλέπει, ἓν δ' ἀλεγίζει.*
Aristot. Hist. Anim. VI, 6 p. 563ª 17: *Ὁ δ' ἀετὸς ᾠὰ μὲν τίκτει τρία, ἐκλέπει δὲ τούτων τὰ δύο, ὥσπερ ἐστὶ καὶ ἐν τοῖς Μουσαίου λεγομένοις ἔπεσιν· „ὃς — ἀλεγίζει".* — Eundem versum affert Plut. Mar. 36.

### 22.

*Βροτοῖς ἥδιστον ἀείδειν.*

---

Fragm. XXII. [*Ἀλλ' ὀλιγοχρονίοισι*] *βροτ.* propos. Mullach.

Aristot. Polit. VIII, 5 p. 1339ᵇ 21: *φησὶ γοῦν καὶ Μουσαῖος εἶναι „βροτοῖς — ἀείδειν“.*

23.

*Ἡδὺ δὲ καὶ τὸ πυθέσθαι, ὅσα θνητοῖσιν ἔνειμαν*
*ἀθάνατοι, δειλῶν τε καὶ ἐσθλῶν τέκμαρ ἐναργές.*

Clem. Alex. Strom. VI p. 266 sq. (628 D) Sylb. 751 Pott. *Ἡσίοδός τε ἐπὶ τοῦ Μελάμποδος ποιεῖ „ἡδὺ — ἐναργές“, καὶ τὰ ἑξῆς παρὰ Μουσαίου λαβὼν τοῦ ποιητοῦ κατὰ λέξιν.*

24. 25.

*Ὡς αἰεὶ τέχνη μέγ' ἀμείνων ἰσχύος ἐστίν.*

---

*Ὡς δ' αὔτως καὶ φύλλα φύει ζείδωρος ἄρουρα,*
*ἄλλα μὲν ἐν μελίῃσιν ἀποφθίνει, ἄλλα δὲ φύει·*
*ὣς δὲ καὶ ἀνθρώπου γενεὴ καὶ φύλλον ἑλίσσει.*

Clem. Alex. Strom. VI. p. 264 (618 D) Sylb. 738 Pott. *Γράψαντός τε Μουσαίου· „ὣς — ἐστίν“, Ὅμηρος λέγει· μῆτι τοι δρυτόμος περιγίγνεται ἠὲ βίηφι* (Il. Ψ 315). — *Πάλιν τοῦ Μουσαίου ποιήσαντος „ὣς — ἑλίσσει“, Ὅμηρος μεταγράφει· φύλλα — ἀπολήγει* (Il. Z 147—149).

---

## EPIMENIDES.

Suid. v. *Ἐπιμενίδης* [I, 2 p. 434 Bernh.], *Φαίστου, ἢ Δοσιάδου, ἢ Ἀγιασάρχου υἱός, καὶ μητρὸς Βλάστας, Κρὴς ἀπὸ Κνωσσοῦ, ἐποποιός· οὗ λόγος ὡς ἐξίοι ἡ ψυχὴ ὁπόσον ἤθελε καιρόν, καὶ πάλιν εἰσῄει ἐν τῷ σώματι·*

τελευτήσαντος δὲ αὐτοῦ, πόρρω χρόνων τὸ δέρμα εὑρῆσθαι γράμμασι κατάστικτον. γέγονε δὲ ἐπὶ τῆς λ' Ὀλυμπιάδος, ὡς προτερεύειν καὶ τῶν ζ' κληθέντων σοφῶν, ἢ καὶ ἐπ' αὐτῶν γενέσθαι. ἐκάθηρε γοῦν τὰς Ἀθήνας τοῦ Κυλωνείου ἄγους κατὰ τὴν μδ' Ὀλυμπιάδα, γηραιὸς ὤν. ἔγραψε δὲ πολλὰ ἐπικῶς, καὶ καταλογάδην μυστήριά τινα καὶ καθαρμοὺς καὶ ἄλλα αἰνιγματώδη. πρὸς τοῦτον γράφει Σόλων ὁ νομοθέτης, μεμφόμενος τῆς πόλεως κάθαρσιν. οὗτος ἔζησεν ρν' ἔτη, τὰ δὲ ξ' ἐκαθεύδησεν. καὶ παροιμία, τὸ Ἐπιμενίδειον δέρμα, ἐπὶ τῶν ἀποθέτων.

Paus. I, 14, 4 (3): Ἐπιμενίδης Κνώσιος, ὃν ἐλθόντα ἐς ἀγρὸν κοιμᾶσθαι λέγουσιν ἐσελθόντα ἐς σπήλαιον· ὁ δὲ ὕπνος οὐ πρότερον ἀνῆκεν αὐτὸν πρὶν ἤ οἱ τεσσαρακοστὸν ἔτος γενέσθαι καθεύδοντι, καὶ ὕστερον ἔπη τε ἐποίει καὶ πόλεις ἐκάθηρεν ἄλλας τε καὶ τὴν Ἀθηναίων.

Cf. Diog. Laert. I, 10. Plut. Sol. cap. 12. Eudoc. p. 150. Apollon. Hist. Mirab. 1 p. 102 Xyland. [43 Keller]. Alciphr. III, 38. Clem. Alex. Strom. VI p. 268 (631 B) Sylb. 755 Pott. Schol. ad Clem. Alex. Protr. II, 26 p. 22 Pott. (Vol. IV p. 103 Klotz): Ἐπιμενίδης οὗτος Κρὴς μὲν ἦν τὸ γένος, ἱερεὺς Διὸς καὶ Ῥέας, καὶ καθαίρειν ἐπαγγελλόμενος παντὸς οὑτινοσοῦν βλαπτικοῦ, εἴτε περὶ σῶμα εἴτε περὶ ψυχήν, τελεταῖς τισί, κατ' αὐτὸν εἰπεῖν· οὗτος καὶ ὕβριν καὶ ἀναίδειαν ὑπέλαβεν εἶναι θεούς, καὶ νεὼς καὶ βωμοὺς αὐταῖς ἱδρύσατο καὶ Ἀθήνησι θύειν παρεκελεύετο. Strab. X p. 479. Eustath. ad Hom. Il. p. 313, 19 Rom. 237 Bas.

Carmina Epimenidi adscripta.

1. *Ἀργοναυτικά.* Diog. Laert. I, 10, 5 § 111. *Ἀργοῦς ναυπηγίαν τε καὶ Ἰάσονος εἰς Κόλχους ἀπόπλουν, ἔπη ἑξακισχίλια πεντακόσια.* — Heinrich p. 132.

2. *Καθαρμοί.* Suid. v. *Ἐπιμενίδης.* Strab. X p. 479. Plut. Sol. 12. Eustath. ad Hom. Il. p. 313, 19 Rom. 237 Bas. Cf. Oenom. ap. Euseb. Praep. Evang. V, 31 p. 226 C: *ὡς μὴ μᾶλλον τῆς Κρήτης σὺ καθαρμοῦ προσδέῃ, Ὀρφικούς τινας ἢ Ἐπιμενιδείους καθαρμοὺς φανταζόμενος.* — Heinrich p. 133.

3. *Κουρήτων καὶ Κορυβάντων γένεσις καὶ θεογονία (ἔπη πεντακισχίλια).* Diog. l. l. Heinrich p. 130—132. Lobeck Aglaoph. p. 1141.

4. *Περὶ Μίνω καὶ Ῥαδαμάνθυος (εἰς ἔπη τετρακισχίλια).* Diog. l. l.

5. *Τελχινιακὴ ἱστορία.* Athen. VII p. 282 E. — Fabricius Bibl. Gr. I p. 33 ed. Harl. Heinrich p. 131. Cf. infra.

6. *Χρησμοί.* — Hieronymus IX fol. 122 B (ed. Bas. 1516). Niceph. X, 26. alii, cf. infra. Heinrich p. 133.

---

Subsidia. Heinrich Epimenides aus Kreta. Lips. 1801. — Hoeck Kreta Vol. III p. 246 sqq. — Lobeck Aglaoph. p. 1141 sq. 1183.

---

Diog. I, 10, 13 § 115: *Γεγόνασι δὲ καὶ Ἐπιμενίδαι ἄλλοι δύο, ὅ τε γενεαλόγος καὶ τρίτος ὁ Δωριστὶ γεγραφὼς περὶ Ῥόδου.*

---

## ARGONAUTICA.

1.

Schol. Laur. ad Apoll. Rhod. III, 242: *Ἐπιμενίδης δέ φησι Κορίνθιον τῷ γένει τὸν Αἰήτην, μητέρα δὲ αὐτοῦ Ἐφύραν φησί.* Eudoc. p. 31, 7—9.

2.

Schol. Laur. ad Apoll. Rhod. II, 1122 de Phrixi filiis disserens: *Καὶ οὗτος* (sc. Hesiodus) *μέν φησιν αὐτοὺς τέσσαρας, Ἄργον, Φρόντιν, Μέλανα, Κυτίσωρον. Ἐπιμενίδης δὲ πέμπτον προστίθησι Πρέσβωνα.*

---

## HISTORIA TELCHINIACA.

3.

Athen. VII p. 282 E: *Τί δ' ἐστὶν ὁ καλούμενος ἱερὸς ἰχθύς; ὁ μὲν τὴν Τελχινιακὴν ἱστορίαν συνθείς, εἴτ' Ἐπιμενίδης ἐστὶν ὁ Κρὴς ἢ Τηλεκλείδης εἴτ' ἄλλος τις, ἱερούς φησιν εἶναι ἰχθύας δελφῖνας καὶ πομπίλους.*

---

## ORACULA.

4.

Aristot. Rhet. III, 17 p. 1418ª 21: *Τὸ δὲ δημηγορεῖν χαλεπώτερον τοῦ δικάζεσθαι, εἰκότως, διότι περὶ τὸ μέλλον· ἐκεῖ δὲ περὶ τὸ γεγονός, ὃ ἐπιστητὸν ἤδη καὶ τοῖς μάντεσιν, ὡς ἔφη Ἐπιμενίδης ὁ Κρής· ἐκεῖνος γὰρ περὶ τῶν ἐσομένων οὐκ ἐμαντεύετο, ἀλλὰ περὶ τῶν γεγονότων μὲν ἀδήλων δέ.*

5.

*Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί.*
Paulus Apost. Epist. ad Tit. I, 12: *Εἶπέ τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης· „Κρῆτες — ἀργαί"*. Cf. Hieron. Vol. III fol. 148 D [ed. Bas. 1516. — Hieronymus Magno Oratori Romano]: Sed et Paulus apostolus Epimenidis poetae abusus versiculo est scribens ad Titum *„Κρῆτες — ἀργαί"*. V. eund. Vol. IX fol. 122 B. Clem. Alex. Strom. I p. 129 (299 C) Sylb. 350 Pott. Callimach. Hymn. in Iov. 8. Socrat. III, 16. Niceph. X, 26. Plura dabit Meyer Comment. ad Nov. Test. XI (Gott. 1850) p. 281 sq.

6.

*Οὔτε γὰρ ἦν γαίης μέσος ὀμφαλός, οὐδὲ θαλάσσης·*
*εἰ δέ τίς ἐστι, θεοῖς δῆλος, θνητοῖσι δ' ἄφαντος.*
Plut. moral. p. 409 E: *Ἀετούς τινας ἢ κύκνους ..... μυθολογοῦσιν ἀπὸ τῶν ἄκρων τῆς γῆς ἐπὶ τὸ μέσον φερομένους εἰς ταὐτὸ συμπεσεῖν Πυθοῖ, περὶ τὸν καλούμενον ὀμφαλόν· ὕστερον δὲ χρόνῳ τὸν Φαίστιον Ἐπιμενίδην ἐλέγχοντα τὸν μῦθον ἐπὶ τοῦ θεοῦ, καὶ λαβόντα χρησμὸν ἀσαφῆ καὶ ἀμφίβολον, εἰπεῖν „Οὔτε — ἄφαντος"*. Cf. fragm. 4.

7.

Diog. Laert. I, 10, 11 § 114 de Epimenide: *Λέγεται δὲ ὡς καὶ πρῶτος αὐτὸν Αἰακὸν λέγοι, καὶ Λακεδαιμονίοις προείποι τὴν ὑπὸ Ἀρκάδων ἅλωσιν.* Cf. § 115: *Θεόπομπος δ' ἐν τοῖς θαυμασίοις ..... Κρησί*

τε προειπεῖν τὴν Λακεδαιμονίων ἧτταν ὑπὸ Ἀρκάδων ...... καὶ δὴ καὶ ἐλήφθησαν πρὸς Ὀρχομενῷ. Paus. II, 21, 3 (4). — Tatian. adv. Gr. 41 (§ 62).

---

## THEOGONIA.

### 8.

Damasc. de princ. p. 383 Kopp: *Τὸν δὲ Ἐπιμενίδην δύο πρώτας ἀρχὰς ὑποθέσθαι, ἀέρα καὶ νύκτα, δῆλον ὅτι σιγῇ τιμήσαντα τὴν μίαν πρὸ τῶν δυοῖν, ἐξ ὧν γεννηθῆναι Τάρταρον οἶμαι τὴν τρίτην ἀρχήν, ὥς τινα μικτὴν ἐκ τῶν δυοῖν συγκραθεῖσαν· ἐξ ὧν δύο τινὰς τὴν νοητὴν μεσότητα οὕτω καλέσαντα, διό τι ἐπ᾽ ἄμφω διατείνει τό τε ἄκρον καὶ τὸ πέρας, ὧν μιχθέντων ἀλλήλοις ὠὸν γενέσθαι τοῦτο ἐκεῖνο τὸ νοητὸν ζῶον ὡς ἀληθῶς, ἐξ οὗ πάλιν ἄλλην γενεὰν προελθεῖν.* Cf. Philodem. *περὶ εὐσ.* p. 19 Gomperz: *ἐν δὲ τοῖς [εἰς Ἐπι]μενίδην (ἀναφερομένοις) [ἐξ ἀέρος] καὶ νυκτὸς [τὰ πάντα σ]υστῆναι .....*

### 9.

*Γήματο δ᾽ Εὐονύμην θαλερὴν Κρόνος ἀγκυλομήτης·*
*ἐκ τοῦ καλλίκομος γένετο χρυσέη Ἀφροδίτη*
*Μοῖραί τ᾽ ἀθάνατοι καὶ Ἐρινύες αἰολόδωροι.*

Schol. Laur. ad Soph. Oed. Col. 42: *Ἐπιμενίδης Κρόνου φησὶ τὰς Εὐμενίδας· „ἐκ τοῦ — αἰολόδωροι“* (V. 2—3). Cetera servavit Tzetz. ad Lycophr. 406.

---

Fragm. IX. 1. *Εὐνομίην* vel *Εὐρυνόμην* propos. Düntz. Suppl. p. 32; sed cf. Schol. ad Soph. l. l.: *Ἴστρος δὲ ἐν τῇ δ̄ μητέρα τῶν Εὐμενίδων Εὐωνύμην ἀναγράφει.* — *θαλερὸν* — *ἀγκυλομῆτις* codd. Tzetzae; cf. Düntz. l. l. — 3. *αἰολόδειροι* Heyne ad Apollod. Vol. I p. 13 [II p. 6 ed. II]; *αἰολόμορφοι* Heinrich p. 131.

10.

Paus. VIII, 18, 2 (1): Ἐπιμενίδης δὲ ὁ Κρὴς εἶναι μὲν καὶ οὗτος θυγατέρα Ὠκεανοῦ τὴν Στύγα ἐποίησε, συνοικεῖν δὲ αὐτὴν οὐ Πάλλαντι, ἀλλὰ ἐκ Πείραντος Ἔχιδναν τεκεῖν, ὅστις δὴ ὁ Πείρας ἐστί.

11.

Laur. Lyd. de mens. IV, 13: Οἱ δὲ περὶ Ἐπιμενίδην ἄρρενα καὶ θήλειαν ἐμύθευσαν τοὺς Διοσκούρους, τὸν μὲν αἰῶνα ὥσπερ μονάδα, τὴν δὲ φύσιν ὡς δυάδα καλέσαντες· ἐκ γὰρ μονάδος καὶ δυάδος ὁ πᾶς ζωογονικὸς καὶ ψυχογονικὸς ἐξεβλάστησεν ἀριθμός.

12.

Πᾶνα καὶ Ἀρκάδιον διδύμους.

Schol. vet. ad Theocr. I, 3: Τὸν Πᾶνα οἱ μὲν λέγουσιν υἱὸν Πηνελόπης καὶ πάντων τῶν μνηστήρων, καὶ δια τοῦτο λέγεσθαι καὶ Πᾶνα· Ἐπιμενίδης δὲ ἐν τοῖς ποιήμασιν αὐτοῦ Διὸς καὶ Καλλιστοῦς „Πᾶνα — διδύμους". Cf. Schol. ad v. 123: Τὸν δὲ Πᾶνα ..... ἄλλοι δὲ Διὸς καὶ Καλλιστοῦς. Schol. ad Eur. Rhes. 36. Eudocia p. 323. Phavor. v. [p. 1420, 24.]

13.

Καὶ γὰρ ἐγὼ γένος εἰμὶ Σελήνης ἠυκόμοιο,
ἣ δεινὸν φρίξασ' ἀπεσείσατο θῆρα λέοντα
ἐν Νεμέῃ, ἀνάγουσ' αὐτὸν διὰ πότνιαν Ἥρην.

Aelian. de nat. anim. XII, 7 de leone disserens: Λέγει γοῦν καὶ τὰ Ἐπιμενίδου ἔπη· „καὶ — Ἥραν".

---

Fragm. XII. Vulgo Ἀρκάδα; corr. Ahrens.
Fragm. XIII. 2. θουρολέοντα Meineke ad Euphor. p. 112. — 3. Versum corruptum (ἐν νεμεαίᾳ ἄγουσ', ἐν νεμαίᾳ αὐτὸν vel ἐν νεμαῖαν ἄγ. mss.) sanavit Bentley ad Phalar. p. 335.

14.

Philodem. περὶ εὐσ. p. 43 Gomp.: *Τὰς Ἁρπυίας τὰ μῆ[λα φ]υλάττειν Ἀκο[υσίλ]αος, Ἐπιμενίδης δὲ καὶ τοῦτο καὶ τὰς αὐτὰς εἶναι ταῖς Ἑσπερίσιν.*

15.

Schol. ad Clem. Alex. Protr. II § 26 [Vol. IV p. 103 Klotz]: *Οὗτος* (sc. *Ἐπιμενίδης*) *καὶ ὕβριν καὶ ἀναίδειαν ὑπέλαβεν εἶναι θεούς, καὶ νεὼς καὶ βωμοὺς αὐταῖς ἱδρύσατο κτλ.* Cf. Clem. Alex. l. l. Plut. Sol. 12.

16.

Philodem. περὶ εὐσ. p. 46 Gomperz. De Typhonis origine sermo esse videtur.

---

INCERTAE SEDIS FRAGMENTA.

17.

Schol. Laur. ad Apoll. Rhod. IV, 57 [p. 487, 4 Keil]: *Ἐπιμενίδης δὲ αὐτὸν* (sc. *τὸν Ἐνδυμίωνα*) *παρὰ θεοῖς διατρίβοντα ἐρασθῆναί φησι τῆς Ἥρας, διόπερ Διὸς χαλεπήναντος αἰτήσασθαι διαπαντὸς καθεύδειν·* Cf. Schol. vet. ad Theocr. III, 49.

18.

Aristot. Polit. I, 2 p. 1252[b] 12: *Ἡ μὲν οὖν εἰς πᾶσαν ἡμέραν συνεστηκυῖα κοινωνία κατὰ φύσιν οἶκός ἐστιν, οὓς Χαρώνδας μὲν καλεῖ ὁμοσιπύους, Ἐπιμενίδης δὲ ὁ Κρὴς ὁμοκάπους.*[1])

---

1) Historiam a Schol. ad German. Arat. p. 70 Buhle [87 Breysig cf. Schol. Strozz. p. 155 sq.] enarratam (Epimenides dicit in Ida utrosque [Iovem et Capricornum] nutritos et ad

## ONOMACRITUS.

Herodot. VII, 6: *Πεισιστρατιδέων οἱ ἀναβεβηκότες ἐς Σοῦσα ....... προσωρέγοντό οἱ* (sc. *τῷ Ξέρξῃ*), *ἔχοντες Ὀνομάκριτον ἄνδρα Ἀθηναῖον χρησμολόγον τε καὶ διαθέτην χρησμῶν τῶν Μουσαίου ἀναβεβήκεσαν τὴν ἔχθρην προκαταλυσάμενοι· ἐξηλάσθη γὰρ ὑπὸ Ἱππάρχου τοῦ Πεισιστράτου ὁ Ὀνομάκριτος ἐξ Ἀθηνέων, ἐπ' αὐτοφώρῳ ἁλοὺς ὑπὸ Λάσου τοῦ Ἑρμιονέος ἐμποιέων ἐς τὰ Μουσαίου χρησμὸν ὡς αἱ ἐπὶ Λήμνῳ ἐπικείμεναι νῆσοι ἀφανιζοίατο κατὰ τῆς θαλάσσης· διὸ ἐξήλασέ μιν ὁ Ἵππαρχος, πρότερον χρεώμενος τὰ μάλιστα. τότε δὲ συναναβὰς ὅκως ἀπίκοιτο ἐς ὄψιν τὴν βασιλέος, λεγόντων τῶν Πεισιστραδέων περὶ αὐτοῦ σεμνοὺς λόγους, κατέλεγε τῶν χρησμῶν· εἰ μέν τι ἐνέοι σφάλμα φέρον τῷ βαρβάρῳ, τῶν μὲν ἔλεγε οὐδέν, ὁ δὲ τὰ εὐτυχέστατα ἐκλεγόμενος ἔλεγε τόν τε Ἑλλήσποντον ὡς ζευχθῆναι χρεὸν εἴη ὑπ' ἀνδρὸς Πέρσεω τήν τε ἔλασιν ἐξηγεόμενος.*

Clem. Alex. Strom. I p. 143 (332 D) Sylb. 397 Pott. *Ναὶ μὴν Ὀνομάκριτος ὁ Ἀθηναῖος, οὗ τὰ εἰς*

---

Titanorum bellum cum Iove profectum etc.) ex opere prosaico depromptam esse Ps.-Eratosth. 27 p. 22 Schaubach (*Ἐπιμενίδης ὁ τὰ Κρητικὰ ἱστορῶν*) docet. Cf. Schol. ad German. Arat. p. 43 Buhle (62. 120 Breys.; „qui Cretica conscripsit"). Diod. V, 80.

Quae ap. Schol. ad Pind. Ol. I, 127 (cf. Hesiodi fragm. 158, supra p. 142) et Schol. ad Eur. Phoen. 13 (*Ἐπιμενίδης Εὐρύκλειαν τὴν Ἐκφαντός φησιν αὐτὸν* [sc. *τὸν Λάιον*] *γεγαμηκέναι, ἐξ ἧς εἶναι τὸν Οἰδίποδα*) leguntur, Epimenidi genealogo debentur; fragmentum autem XI. Düntz. ap. Schol. ad Pind. Ol. VII, 24: *Ἐπιμενίδης δὲ αὐτὴν* (sc. *τὴν Ῥόδον*) *Ὠκεανοῦ γενεαλογεῖ, ἀφ' ἧς τὴν πόλιν ὠνομάσθαι*, Epimenidi tertio ap. Diog. I, 10, 13 § 115 vindicandum esse recte vidit Boeckh.

*Ὀρφέα φερόμενα ποιήματα λέγεται εἶναι, κατὰ τὴν τῶν Πεισιστρατιδῶν ἀρχὴν περὶ τὴν πεντηκοστὴν* (?) *ὀλυμπιάδα εὑρίσκεται ............ καὶ τοὺς μὲν ἀναφερομένους εἰς Μουσαῖον χρησμοὺς Ὀνομακρίτου εἶναι λέγουσι.* Cf. Tatian. or. ad Graec. cap. 41 (§ 62). Paus. I, 22, 7. Plut. moral. p. 407 B. Sext. Empir. Pyrrh. Hypot. III § 30 p. 135 sq. [126 Bekk.] Adv. Mathem. IX § 361 p. 620 [462 Bekk.] Schol. ad Aristid. Panath. p. 165 Iebb. 206 Frommel (*τὰ δὲ δόγματα Ὀρφέως Ὀνομάκριτος μετέβαλε δι' ἐπῶν, χρόνῳ ὕστερον Ὁμήρου γενόμενος*). Philop. ad Aristot. de anim. I, 5 p. 5 Ald. Suid. v. *Ὀρφεύς* [II, 1 p. 1174 Bernh.]: *ἔγραψε ...... Χρησμούς, οἳ ἀναφέρονται εἰς Ὀνομάκριτον· Τελετάς· ὁμοίως δέ φασι καὶ ταύτας Ὀνομακρίτου.*

Anonymus de comoedia [Cod. Par. 2677.] ap. Cram. Anecd. Par. I p. 6: *Τὰς Ὁμηρικὰς* (*βίβλους*) *ἑβδομήκοντα δύο γραμματικοὶ ἐπὶ Πεισιστράτου τοῦ Ἀθηναίων τυράννου διέθηκαν οὑτωσί, σποράδην οὔσας τὸ πρίν .......... Οἱ δὲ τέσσαρσί τισι τῶν ἐπὶ Πεισιστράτου διόρθωσιν ἀναφέρουσιν, Ὀρφεῖ Κροτωνιάτῃ, Ζωπύρῳ Ἡρακλεώτῃ, Ὀνομακρίτῳ Ἀθηναίῳ, καὶ καγ ἐπὶ κογκυλω*[1]). Scholium Plautinum [Cod. Collegii Romani 4. C. 39.] ap. Ritschl. de bibll. Alexandrr. comment. Vratislav. 1838. p. 4. [= Opuscc. philoll. I p. 6.]: Pisistratus sparsam prius Homeri poesim ante Ptolemaeum Philadelphum annis ducentis et eo etiam

1) In hoc monstro (cf. interpretationem latinam) *ἐπικὸν κύκλον* vel *ἐπικῷ κύκλῳ* latere probabilis est coniectura Crameri l. l. p. 16; cf. Ritschl. Opuscc. acadd. I p. 165 sq. 205.

amplius sollerti cura in ea quae nunc extant redegit volumina usus ad hoc opus divinum industria quattuor celeberrimorum et eruditissimorum hominum videlicet Concyli Onomacriti atheniē̄n. Zopyri heracleotae et Orphei crotoniatae. Nam carptim prius Homerus et non nisi difficillime legebatur. Cf. Schol. ad Hom. Od. λ, 604 (v. infra).

---

Subsidia. Ritschl Onomakritus von Athen. In Erschii Encyclop. Sect. III fasc. 4 (1833) p. 4—6 [= Opuscc. acadd. I p. 238 sqq.], cf. eundem de bibll. Alexandrr. comment. Vrat. 1838 (v. supra). — Eichhoff De Onomacrito Atheniensi Comm. I Elberf. 1840. — Gerhard Onomakritus als Kunstverfälscher, in Jahni Annal. Vol. LXXVII (1858) p. 725—731. — Haupt Orpheus, Homerus, Onomacritus sive theologiae et philosophiae initia apud Graecos. Regim. 1864. — Duentzer Peisistratus und Homer, in Jahni Annal. Vol. XCI (1865) p. 729 sqq.

---

1.

Sext. Empir. Pyrrh. Hypot. III § 30 p. 135 sq. [126 Bekk.] cf. adv. Mathem. IX § 360 sq. p. 620 [461 sq. Bekk.]: *Φερεκύδης μὲν γὰρ ὁ Σύριος γῆν εἶπε τὴν πάντων εἶναι ἀρχήν, .......... Ὀνομάκριτος δὲ ἐν τοῖς Ὀρφικοῖς πῦρ καὶ ὕδωρ καὶ γῆν.*

2.

Paus. VIII, 37, 5 (3): *Παρὰ δὲ Ὁμήρου Ὀνομάκριτος παραλαβὼν τῶν Τιτάνων τὸ ὄνομα Διονύσῳ τε συνέθηκεν ὄργια, καὶ εἶναι τοὺς Τιτᾶνας τῷ Διονύσῳ τῶν παθημάτων ἐποίησεν αὐτουργούς.*

3.

Paus. IX, 35, 5 (1): *Ἡσίοδος δὲ ἐν Θεογονίᾳ*[1]) ...... *τὰς Χάριτάς φησιν εἶναι Διός τε καὶ Εὐρυνόμης, καί σφισιν ὀνόματα Εὐφροσύνην τε καὶ Ἀγλαΐαν εἶναι καὶ Θαλίαν. κατὰ ταὐτὰ δὲ ἐν ἔπεσίν ἐστι τοῦ Ὀνομακρίτου.* Cf. Ps.-Orph. Hymn. 60, 1—3.

4.

Paus. VIII, 31, 3 (1): *Ἔστι δὲ καὶ Ἡρακλῆς παρὰ τῇ Δήμητρι μέγεθος μάλιστα πῆχυν· τοῦτον τὸν Ἡρακλέα εἶναι τῶν Ἰδαίων καλουμένων Δακτύλων Ὀνομάκριτός φησιν ἐν τοῖς ἔπεσι.*

5.

Paus. I, 22, 7: *Ἐγὼ δὲ ἔπη μὲν ἐπελεξάμην ἐν οἷς ἐστὶ πέτεσθαι Μουσαῖον ὑπὸ Βορέου δῶρον, δοκεῖν δέ μοι, πεποίηκεν αὐτὰ Ὀνομάκριτος.*

6. 7.

Herodot. VII. 6, cf. supra.

8.

Homer. Od. *λ*, 601—4. *Τὸν δὲ μετ' εἰσενόησα βίην Ἡρακληείην, | εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσι | τέρπεται ἐν θαλίῃς καὶ ἔχει καλλίσφυρον Ἥβην | παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου.* Schol. Harl. ad v. 604: *τοῦτον ὑπὸ Ὀνομακρίτου ἐμπεποιῆσθαί φασιν. ἠθέτηται δέ.*

---

1) Theog. 907 sqq.

## ABARIS.

Suid. v. [I, 1 p. 13 sq. Bernh.] *Ἄβαρις· Σκύθης, Σεύθου υἱός ....... ἧκε δὲ ἐκ Σκυθῶν εἰς Ἑλλάδα .......... φασὶ δὲ ὅτι λοιμοῦ κατὰ πᾶσαν τὴν οἰκουμένην γεγονότος ἀνεῖλεν ὁ Ἀπόλλων μαντευομένοις Ἕλλησί τε καὶ βαρβάροις, τὸν Ἀθηναίων δῆμον ὑπὲρ πάντων εὐχὰς ποιήσασθαι. πρεσβευομένων δὲ πολλῶν ἐθνῶν πρὸς αὐτούς, καὶ Ἄβαριν ἐξ Ὑπερβορέων πρεσβευτὴν ἀφίκεσθαι λέγουσι κατὰ τὴν νγ΄ ὀλυμπιάδα.* Cf. Harpocrat. v. Lycurg. orat. fragm. 86. ed. Tur. Schol. ad Aristoph. Eq. 725: *Ἄβαρίν φασι τὸν Ὑπερβόρειον ἐλθόντα θεωρὸν εἰς τὴν Ἑλλάδα, Ἀπόλλωνι θητεῦσαι, καὶ οὕτω συγγράψαι τοὺς χρησμοὺς τοὺς νῦν προσαγορευομένους Ἀβάριδος.* Apollon. Hist. mirab. 4. — Strab. VII p. 301: *Ἄβαρις καί τινες ἄλλοι τοιοῦτοι παρὰ τοῖς Ἕλλησιν εὐδοκίμουν, ὅτι ἐθνικόν τινα χαρακτῆρα ἐπέφαινον εὐκολίας καὶ λιτότητος καὶ δικαιοσύνης.* Himer. orat. 25. Paus. III, 13, 2. Herodot. IV. 36. Iamblich. Vita Pythag. c. 19. 28.

---

Suid.: *Συνεγράψατο δὲ χρησμοὺς τοὺς καλουμένους Σκυθικούς· καὶ γάμον Ἕβρου τοῦ ποταμοῦ· καὶ καθαρμούς· καὶ θεογονίαν καταλογάδην· καὶ Ἀπόλλωνος ἄφιξιν εἰς Ὑπερβορέους, ἐμμέτρως.*

Plut. moral. p. 14 E: *οὐ γὰρ μόνον τὰ Αἰσώπεια μυθάρια καὶ τὰς ποιητικὰς ὑποθέσεις, καὶ τὸν Ἄβαριν τὸν Ἡρακλείδου, καὶ τὸν Λύκωνα τὸν Ἀρίστωνος διερχόμενοι, [ἀλλὰ καὶ] τὰ περὶ τῶν ψυχῶν δόγματα μεμιγμένα μυθολογίᾳ μεθ' ἡδονῆς ἐνθουσιῶσι.*

---

Auctor *περὶ συντάξεως* ap. Bekk. Anecd. Gr. I p. 145: *ἐπιστρέφομαι· ἀντὶ τοῦ ἐπιμέλειαν ποιοῦμαι καὶ φροντίζω, μετὰ γενικῆς. Ἡρακλείδου Ποντικοῦ τῶν εἰς Ἄβαριν ἀναφερομένων· „ἔφη δὲ τὸ δένδρον αὐτῷ τὸν δαίμονα, νεανίαν γενόμενον, ἐπιθεῖναι, προστάξαι δὲ πιστεύειν περὶ θεῶν, ὅτι ὡς οἷόν τε καὶ τῶν ἀνθρωπίνων ἐπιστρέφονται πραγμάτων".*

Ibid. p. 178: *ὑλακτῶ· αἰτιατικῇ. Ἡρακλείδου Ποντικοῦ ἐκ τοῦ δευτέρου λόγου τῶν εἰς τὸν Ἄβαριν ἀναφερομένων· „ἐκ δὲ τῶν ἐγγὺς φωλεῶν ἐξείρπυσαν ὄφεις ἐπὶ τὸ σῶμα σφοδρῶς ὀρούοντες. ἐκωλύοντο μέντοι ὑπὸ τῶν κυνῶν, ὑλακτούντων αὐτούς".*

---

Lobeck Aglaoph. p. 314. C. G. Mueller in Paulyi Encycl. I$^2$ p. 7 sq.

---

## ARISTEAS.

Herodot. IV, 13: *Ἀριστέης ὁ Καϋστροβίου ἀνὴρ Προκοννήσιος ποιέων ἔπεα.* Suid. v. [I, 1 p. 720 Bernh.] *Ἀριστέας, Δημοχάριδος ἢ Καϋστροβίου, Προκοννήσιος, ἐποποιός.* Tatian. orat. ad Graec. cap. 41 (§ 62): *Ἀρισταίου τοῦ Προκοννησίου.* Cum Tatiano conspirat Eustath. ad Il. p. 331, 7 Rom. 250 Bas.

Suid.: *Γέγονε δὲ κατὰ Κροῖσον καὶ Κῦρον, Ὀλυμπιάδι ν'.* Contra Strab. XIV p. 639: *Τινὲς δὲ διδάσκαλον Ὁμήρου τοῦτόν* (sc. Creophylum) *φασιν, οἱ δ' οὐ τοῦτον ἀλλ' Ἀριστέαν τὸν Προκοννήσιον*, cf. Eustath. l. l.

De vita eius fabulosa disserunt Herodot. IV, 14

(Aristeas dicitur fuisse *τῶν ἀστῶν οὐδενὸς γένος ὑποδεέστερος*). Apollon. Hist. mirab. cap. 2 p. 102 Xyland. [44 Keller]: *Ἀριστέαν δὲ ἱστορεῖται τὸν Προκοννήσιον ἔν τινι γναφείῳ τῆς Προκοννήσου τελευτήσαντα ἐν τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ ἐν Σικελίᾳ ὑπὸ πολλῶν θεωρηθῆναι γράμματα διδάσκοντα, ὅθεν πολλάκις αὐτῷ τοῦ τοιούτου συμβαίνοντος καὶ περιφανοῦς γιγνομένου διὰ πολλῶν ἐτῶν καὶ πυκνότερον ἐν τῇ Σικελίᾳ φανταζομένου οἱ Σικελοὶ ἱερόν τε καθιδρύσαντο αὐτῷ καὶ ἔθυσαν ὡς ἥρωι.* Cf. Athen. XIII p. 605 C. Orig. c. Cels. III p. 126. Aen. Gaz. Theophr. p. 45 Wolf. Tzetz. Chil. II, 723 sqq. IV, 522. — Suid.: *Τούτου φασὶ τὴν ψυχὴν ὅτε ἐβούλετο ἐξιέναι καὶ ἐπανιέναι πάλιν.* — Strab. XIII p. 589: *Ἀριστέας .... ἀνὴρ γόης εἴ τις ἄλλος.* — Mirabilium scriptoribus adnumeratur a Gellio IX, 4, 3.

Carmina. — 1. Suid.: *Τὰ Ἀριμάσπεια*[1]) *καλούμενα ἔπη· ἔστι δὲ ἱστορία τῶν Ὑπερβορέων Ἀριμασπῶν, βιβλία γ'.* Herodot. IV, 14: *Τὰ ἔπεα .......... τὰ νῦν ὑπ' Ἑλλήνων Ἀριμάσπεα καλέεται.* — Tatian.: *Τὰ Ἀριμάσπια.*

2. Suid.: *Ἔγραψε δὲ οὗτος καὶ καταλογάδην θεογονίαν, εἰς ἔπη ͵α'.*

Subsidia. Bode Hist. Poes. gr. I p. 472 sqq Bernhardy II, 1 p. 278 sq. I. G. Hubmann, *τὰ περὶ Ἀριστέα τοῦ Προκοννησίου μυθολογούμενα*, Amberg. 1838. Tournier De Aristea Proconnesio et

1) Formam hanc tuentur Strab. Longin. Tzetz.

Arimaspeo poemate. Par. 1863. Westermann in Paulyi Encycl. I² p. 1581 sq.

1.

*Θαῦμ᾽ ἡμῖν καὶ τοῦτο μέγα φρεσὶν ἡμετέρῃσιν·*
*ἄνδρες ὕδωρ ναίουσιν ἀπὸ χθονὸς ἐν πελάγεσσι·*
*δύστηνοί τινές εἰσιν, ἔχουσι γὰρ ἔργα πονηρά,*
*ὄμματ᾽ ἐν ἄστροισι, ψυχὴν δ᾽ ἐν πόντῳ ἔχουσιν.*
*ἦ που πολλὰ θεοῖσι φίλας ἀνὰ χεῖρας ἔχοντες*
*εὔχονται σπλάγχνοισι κακῶς ἀναβαλλομένοισι.*

Longin. de subl. X, 4: *Ὁ μὲν γὰρ τὰ Ἀριμάσπεια ποιήσας ἐκεῖνα οἴεται δεινά· „θαῦμ᾽ — ἀναβαλλομένοισι“.*

2—4.

*Ἰσσηδοὶ χαίτῃσιν ἀγαλλόμενοι ταναῇσι·*

---

*καί σφεας ἀνθρώπους εἶναι καθύπερθεν ὁμούρους*
*πρὸς Βορέω, πολλούς τε καὶ ἐσθλοὺς κάρτα μαχητάς,*
*ἀφνειοὺς ἵπποισι, πολύρρηνας, πολυβούτας .....*

---

*Ὀφθαλμὸν δ᾽ ἕν᾽ ἕκαστος ἔχει χαρίεντι μετώπῳ.*
*Χαίτῃσιν λάσιοι, πάντων στιβαρώτατοι ἀνδρῶν.*

Tzetz. Chil. VII, 686 sqq.: *Καὶ Ἀριστέας δέ φησιν ἐν τοῖς Ἀριμασπείοις· „Ἰσσηδοὶ — ἀνδρῶν“.*

5.

Herodot. IV, 13: *Ἔφη δὲ Ἀριστέης .......... ἀπικέσθαι ἐς Ἰσσηδόνας φοιβόλαμπτος γενόμενος,*

---

Fragm. III. Verba poetae *καὶ — πολυβούτας* ad Arimaspos spectare videntur; itaque a superioribus seiungi. — *καί σφεας*] Legebatur *καὶ σφᾶς*; corr. Koechly.

Ἰσσηδόνων δὲ ὑπεροικέειν Ἀριμασποὺς ἄνδρας μουνοφθάλμους, ὑπὲρ δὲ τούτων τοὺς χρυσοφύλακας γρῦπας, τούτων δὲ τοὺς Ὑπερβορέους κατήκοντας ἐπὶ θάλασσαν. τούτους ὦν πάντας πλὴν Ὑπερβορέων, ἀρξάντων Ἀριμασπῶν, αἰεὶ τοῖσι πλησιοχώροισι ἐπιτίθεσθαι, καὶ ὑπὸ μὲν Ἀριμασπῶν ἐξωθέεσθαι ἐκ τῆς χώρης Ἰσσηδόνας, ὑπὸ δὲ Ἰσσηδόνων Σκύθας, Κιμμερίους δὲ οἰκέοντας ἐπὶ τῇ νοτίῃ θαλάσσῃ ὑπὸ Σκυθέων πιεζομένους ἐκλείπειν τὴν χώρην. οὕτω οὐδὲ οὗτος συμφέρεται περὶ τῆς χώρης ταύτης Σκύθῃσι

6.

Herodot. IV, 16: *Τῆς δὲ γῆς, τῆς πέρι ὅδε ὁ λόγος ὥρμηται λέγεσθαι, οὐδεὶς οἶδε ἀτρεκέως ὅ τι τὸ κατύπερθέ ἐστι· οὐδενὸς γὰρ δὴ αὐτόπτεω εἰδέναι φαμένου δύναμαι πυθέσθαι· οὐδὲ γὰρ οὐδὲ Ἀριστέης ...... οὐδὲ οὗτος προσωτέρω Ἰσσηδόνων ἐν αὐτοῖσι τοῖσι ἔπεσι ποιέων ἔφησε ἀπικέσθαι· ἀλλὰ τὰ κατύπερθε ἔλεγε ἀκοῇ, φὰς Ἰσσηδόνας εἶναι τοὺς ταῦτα λέγοντας.*

Paus. V, 7, 9 (4): *Ἀρισταῖος δὲ ὁ Προκοννήσιος, μνήμην γὰρ ἐποιήσατο Ὑπερβορέων καὶ οὗτος, τάχα ἄν τι καὶ πλέον περὶ αὐτῶν πεπυσμένος εἴη παρὰ Ἰσσηδόνων, ἐς οὓς ἀφικέσθαι φησὶν ἐν τοῖς ἔπεσιν.*

7.

Paus. I, 24, 6: *Τούτους τοὺς γρῦπας ἐν τοῖς ἔπεσιν Ἀριστέας ὁ Προκοννήσιος μάχεσθαι περὶ τοῦ χρυσοῦ φησὶν Ἀριμασποῖς τοῖς ὑπὲρ Ἰσσηδόνων*[1]).

---

1) Plin. Nat. Hist. VII, 2 § 10 de Scytharum nationibus disserens: Sed et iuxta eos qui sunt ad septentrionem versi, haud procul ab ipso aquilonis exortu specuque eius dicto, quem

*τὸν δὲ χρυσόν, ὃν φυλάσσουσιν οἱ γρῦπες, ἀνιέναι τὴν γῆν· εἶναι δὲ Ἀριμασποὺς μὲν ἄνδρας μονοφθάλμους πάντας ἐκ γενετῆς*[1]*, γρῦπας δὲ θηρία λέουσιν εἰκασμένα, πτερὰ δὲ ἔχειν καὶ στόμα ἀετοῦ.*

---

## ANTIMACHUS TEIUS.

### 1.

*Ἐκ γὰρ δώρων πολλὰ κάκ' ἀνθρώποισι πέλονται.*

Clem. Alex. Strom. VI p. 264 (622 D) Sylb. 743 Pott.: *Ἀντιμάχου τε τοῦ Τηΐου εἰπόντος· „ἐκ γὰρ — πέλονται".* Cf. Nostorum fragm. 8 (supra p. 56).

### 2.

Plut. Rom. 12: *Ἐκείνην δὲ τὴν ἡμέραν, ᾗ τὴν πόλιν ὁ Ῥωμύλος ἔκτιζεν, ἀτρεκῆ τριακάδα τυχεῖν λέγουσι· καὶ σύνοδον ἐκλειπτικὴν ἐν αὐτῇ γενέσθαι σελήνης πρὸς ἥλιον, ἣν εἰδέναι καὶ Ἀντίμαχον οἴονται, τὸν Τήιον ἐποποιόν, ἔτει τρίτῳ τῆς ἕκτης ὀλυμπιάδος συμπεσοῦσαν.*

---

locum *γῆς κλεῖθρον* appellant, produntur Arimaspi quos diximus, uno oculo in fronte media insignes, quibus adsidue bellum esse circa metalla cum grypis, ferarum volucri genere quale volgo traditur eruente ex cuniculis aurum, mira cupiditate et feris custodientibus et Arimaspis rapientibus, multi sed maxume inlustres Herodotus et Aristeas Proconnesius scribunt.

1) Strab. I p. 21: *Τάχα δὲ καὶ τοὺς μονομμάτους Κύκλωπας ἐκ τῆς Σκυθικῆς ἱστορίας μετενήνοχε (Ὅμηρος)· τοιούτους γάρ τινας τοὺς Ἀριμασποὺς φασιν, οὓς ἐν τοῖς Ἀριμασπείοις ἔπεσιν ἐνδέδωκεν Ἀριστέας ὁ Προκοννήσιος.*

## PISANDER CAMIRENSIS.

Suid. v. *Πείσανδρος* [II, 2 p. 255 Bernh.]. *Πείσωνος καὶ Ἀρισταίχμας, Καμειραῖος*[1]) *ἀπὸ Ῥόδου· Κάμειρος γὰρ ἦν πόλις Ῥόδου. καί τινες μὲν αὐτὸν Εὐμόλπου τοῦ ποιητοῦ σύγχρονον καὶ ἐρώμενον ἱστοροῦσι· τινὲς δὲ καὶ Ἡσιόδου πρεσβύτερον· οἱ δὲ κατὰ τὴν λγ' Ὀλυμπιάδα τάττουσιν· ἔσχε δὲ καὶ ἀδελφὴν Διόκλειαν. ποιήματα δὲ αὐτοῦ Ἡράκλεια*[2]), *ἐν βιβλίοις β'· ἔστι δὲ τὰ Ἡρακλέους ἔργα· ἔνθα πρῶτος Ἡρακλεῖ ῥόπαλον περιτέθεικε. τὰ δὲ ἄλλα τῶν ποιημάτων νόθα αὐτοῦ δοξάζεται, γενόμενα ὑπό τε ἄλλων καὶ Ἀριστέως τοῦ ποιητοῦ.*[3]) — Procl. in Chrestomath. I. *Ἐπῶν ποιηταὶ γεγόνασι πολλοί· τούτων δ' εἰσὶ κράτιστοι Ὅμηρος Ἡσίοδος Πείσανδρος Πανύασσις Ἀντίμαχος.* Andronicus in Bekk. Anecd. Gr. p. 1461: *Ποιηταὶ δὲ ἀπροσδιόριστοι καὶ κατ' ἐξοχήν εἰσιν, οὕς τινας ταῦτα χαρακτηρίζει τὰ τέσσαρα, μετρὸν ἡρωικόν, μῦθος ἀλληγορικός, ἱστορία ἤτοι παλαιὰ ἀφήγησις, καὶ ποιὰ λέξις ἤτοι ἡρωικὴ καὶ ἀξιωματικὴ καὶ τῷ ἡρωικῷ μέτρῳ ἁρμόζουσα, ἀλλ' οὐ κατατετριμμένη καὶ χθαμαλή. μᾶλλον δὲ ἐκ τῶν τεσσάρων τούτων ὁ ἀλληγορικὸς μῦθος ὁ χαρακτηρίζων τοὺς κυρίως ποιητάς. γεγόνασι τοίνυν πάντων τούτων ποιητῶν ἄνδρες ὀνομαστοὶ οὗτοι, Ὅμηρος ὁ πολύς, Ἀντίμαχος ὁ Κολοφώνιος, Πανύασις, Πείσανδρος ὁ Καμει-*

---

1) Cf. Anthol. Pal. VII, 304. Clem. Alex. Strom. VI p. 751 Pott. Auctores quibus fragm. 2—4. 6. 11 debentur. 2) Cf. Eustath. ad Il. p. 785, 22 Rom. 697 Bas. [supra, p. 57 not. 2]. 3) Eudoc. p. 357 sq.

*ρεὺς καὶ Ἡσίοδος ὁ Ἀσκραῖος. καὶ ταῦτα μὲν τὰ γνωρίσματα τῶν καλουμένων κατ' ἐξοχὴν ποιητῶν.* Cf. Steph. Byz. v. *Κάμιρος.* Epigr. in Anthol. Gr. I p. 200 ed. Lips. (1794).

---

## HERACLEA.

Aristot. Poet. cap. 8 p. 1451$^{a}$ 16 [supra p. 217]. Quintil. X, 1, 56. — Clem. Alex. Strom. VI p. 266 (628 B) 751 Pott. (Multi scriptores) ......... *αὐτοτελῶς τὰ ἑτέρων ὑφελόμενοι, ὡς ἴδια ἐξήνεγκαν, καθάπερ* ....... *Πείσανδρος Καμιρεὺς Πισίνου τοῦ Λινδίου τὴν Ἡράκλειαν* (?). Welck. Cycl. ep. I (1835) p. 312. not. 509.

Subsidia. — Heyne Excurs. I ad Verg. Aen. II p. 377 sqq. — Welcker Cycl. ep. I (1835) p. 97 sqq. — Mueller Dor. II p. 475—477. — Bode I p. 499 sqq. — Mure Hist. Ling. Graec. II p. 457—462. — Pisandri fragmenta ed. Duebner (Hesiodi edit. Páris. 1840 append. p. 5—8).

---

Plut. moral. p. 857 F. *Τῶν παλαιῶν καὶ λογίων ἀνδρῶν, οὐχ Ὅμηρος, οὐχ Ἡσίοδος, οὐχ Ἀρχίλοχος, οὐ Πείσανδρος ....... Αἰγυπτίου ἔσχον λόγον Ἡρακλέους ἢ Φοίνικος, ἀλλ' ἕνα τοῦτον ἴσασι πάντες Ἡρακλέα τὸν Βοιώτιον ἡμῖν καὶ Ἀργεῖον.*

---

1.

Strab. XV p. 688 de Bacchi et Herculis in Indiam expeditionibus disserens: *Τῶν δὲ κοινωνησάντων αὐτῷ* (Herculi) *τῆς στρατείας* (*τῆς ἐπ' Ἄορνον*) *ἀπογόνους εἶναι τοὺς Σίβας, σύμβολα τοῦ γένους σώζοντας τό*

τε δορὰς ἀμπέχεσθαι, καθάπερ τὸν Ἡρακλέα, καὶ τὸ σκυταληφορεῖν καὶ ἐπικεκαῦσθαι βουσὶ καὶ ἡμιόνοις ῥόπαλον .......... καὶ ἡ τοῦ Ἡρακλέους δὲ στολὴ ἡ τοιαύτη πολὺ νεωτέρα τῆς Τρωικῆς μνήμης ἐστί, πλάσμα τῶν τὴν Ἡράκλειαν ποιησάντων, εἴτε Πείσανδρος[1]) ἦν εἴτ' ἄλλος τις· τὰ δ' ἀρχαῖα ξόανα οὐχ οὕτω διεσκεύασται[2]). — Ps.-Eratosth. Cataster. 12 (Λέων). τινὲς δέ φασιν ὅτι Ἡρακλέους πρῶτος ἆθλος ἦν εἰς τὸ μνημονευθῆναι. φιλοδοξῶν γὰρ μόνον τοῦτον οὐχ ὅπλοις ἀνεῖλεν, ἀλλὰ συμπλακεὶς ἀπέπνιξε. λέγει δὲ περὶ αὐτοῦ Πείσανδρος[3]) ὁ Ῥόδιος, ὅτι καὶ τὴν δορὰν αὐτοῦ ἔσχεν, ὡς ἔνδοξον πεποιηκώς. οὗτός ἐστιν ὁ ἐν τῇ Νεμέᾳ ὑπ' αὐτοῦ φονευθείς. Schol. ad German. Arat. p. 131 Breysig (52 Buhle)[4]): Periandrus[5]) Rhodius refert, eum ob primos labores Herculis memoriae causa honorifice astris inlatum. Hygin. Astr. II, 24 p. 475 Stav. 66 Bunte. Nonnulli etiam hoc amplius dicunt, quod Herculis prima fuerit haec certatio, et quod eum inermis interfecerit. De hoc et Pisandrus et conplures alii scripserunt.

2.

Paus. II, 37, 4: Κεφαλὴν δὲ εἶχεν (ἡ ὕδρα), ἐμοὶ δοκεῖν, μίαν καὶ οὐ πλείονας. Πείσανδρος δὲ ὁ Καμιρεύς, ἵνα τὸ θηρίον τε δοκοίη φοβερώτερον καὶ αὐτῷ γίνηται ἡ ποίησις ἀξιόχρεως μᾶλλον, ἀντὶ τούτων τὰς κεφαλὰς ἐποίησε τῇ ὕδρᾳ τὰς πολλάς.

---

1) Cf. p. 655: Πείσανδρος ὁ τὴν Ἡράκλειαν γράψας ποιητὴς Ῥόδιος. 2) Muell. Dor. I p. 444. II p. 476. 3) Πίνδαρος vulgo; corr. Fell. 4) Cf. Schol. p. 71 sq. Breysig. 5) Leg. Pisandrus ex Hygin.

3.

Schol. ad Pind. Ol. III, 52: *Θήλειαν δὲ εἶπε (τὴν ἔλαφον) καὶ χρυσόκερων ἀπὸ ἱστορίας*[1]). *ὁ γὰρ Θησηίδα γράψας τοιαύτην αὐτὴν λέγει καὶ Πείσανδρος ὁ Καμειρεὺς καὶ Φερεκύδης.*

4.

Paus. VIII, 22, 4: *Ἐπὶ δὲ τῷ ὕδατι τῷ ἐν Στυμφήλῳ κατέχει λόγος ὄρνιθάς ποτε ἀνδροφάγους ἐπ' αὐτῷ τραφῆναι· ταύτας κατατοξεῦσαι τὰς ὄρνιθας Ἡρακλῆς λέγεται. Πείσανδρος δὲ αὐτὸν ὁ Καμιρεὺς ἀποκτεῖναι τὰς ὄρνιθας οὔ φησιν, ἀλλὰ ὡς ψόφῳ κροτάλων ἐκδιώξειεν αὐτάς.*[2])

5.

Athen. XI p. 469 C: *Πείσανδρος ἐν δευτέρῳ Ἡρακλείας τὸ δέπας ἐν ᾧ διέπλευσεν ὁ Ἡρακλῆς τὸν Ὠκεανὸν εἶναι μέν φησιν Ἡλίου, λαβεῖν δ' αὐτὸ παρ' Ὠκεανοῦ Ἡρακλέα.* Cf. Panyas. fr. 7.

6.

Schol. ad Pind. Pyth. IX, 183: *Ὄνομα δὲ αὐτῇ* (sc. Antaei filiae) *Ἀλκηίς, ὥς φησι Πείσανδρος ὁ Καμειρεύς· ἕτεροι δὲ Βάρκην.*

7.

*Τῷ δ' ἐν Θερμοπύλῃσι θεὰ γλαυκῶπις Ἀθήνη*
*ποίει θερμὰ λοετρὰ παρὰ ῥηγμῖνι θαλάσσης.*

---

1) Cf. p. 217 not. 2) Cf. Schol. ad Apoll. Rhod. II, 1088 (*πιθανῶς δὲ ὁ Πείσανδρος τοὺς ὄρνιθάς φησιν εἰς Σκυθίαν ἀποπτῆναι, ὅθεν καὶ ἐληλύθεσαν*). — Haec ad Heracleam spectare censet Schubart Ephem. litt. Hal. a. 1840 Vol. I p. 527, repugnant alii; cf. Duentz. p. 90. Duebn. ad Pseudo-Pisandri fr. 12. 14.

Schol. Rav. ad Aristoph. Nub. 1050: Ἡρακλεῖ πολλὰ καμόντι περὶ Θερμοπύλας Ἀθηνᾶ θερμὰ λουτρὰ ἀναδέδωκεν. Πείσανδρος „Τῷ — θαλάσσης“. Zenob. VI, 49: Ἡ γὰρ Ἀθηνᾶ τῷ Ἡρακλεῖ ἀνῆκε πολλαχοῦ θερμὰ λουτρὰ πρὸς ἀνάπαυλαν τῶν πόνων, ὥς φησι καὶ Πείσανδρος ὁ ποιητὴς ἐν τοῖς περὶ Ἡρακλέους. Harpocrat. v. Θερμοπύλαι.

8.

*Οὐ νέμεσις καὶ ψεῦδος ὑπὲρ ψυχῆς ἀγορεύειν.*

Stob. Floril. XII, 6 [Vol. I p. 272 Gaisf. ed. Lips.]: Πεισάνδρου. „Οὐ — ἀγορεύειν“. „Poterant haec in historia Cercopum dici“. K. O. Müller.

9.

*Νοῦς οὐ παρὰ Κενταύροισι.*

Hesych. „Νοῦς — Κενταύροισι“. παροιμιῶδες. ἔστι δὲ Π(ε)ισάνδρου κομμάτιον, ἐπὶ τῶν ἀδυνάτων ταττόμενον. [Cf. Meineke Fragmm. Com. I p. 162.] Cf. Phot. Suid. Diogenian. VI, 84. Apostol. XIII, 74 [XII, 12 Leutsch.] etc.

10.

*Δικαιοτάτου δὲ φονῆος.*

Olympiodor. ad Plat. Alcib. p. 156 Creuzer: Ἑκάτερος (sc. Perseus Herculesque) μὲν γὰρ ἐπὶ καθάρσει τῶν κακῶν γέγονε, καὶ γὰρ καὶ ὁ Ἡρακλῆς· διὸ φησὶ περὶ αὐτοῦ ὁ Πείσανδρος· „δικ. — φονῆος“. ἐπὶ γὰρ καθαρότητα φόνους ἐποίει.

11.

*ἀέ.*

Gramm. in Cram. Anecd. Par. III p. 321: ἔστι δὲ καὶ

ἀέ παρὰ Πεισάνδρῳ Καμιρεῖ[1]). Cf. Etym. Gud. v. ἀεί (p. 9 extr.) Greg. Corinth. p. 347 Schaef.

---

## PANYASSIS.

Suid. v. [II, 2 p. 56 Bernh.]: Πανύασις, Πολυάρχου[2]), Ἁλικαρνασσεύς[3]), [τερατοσκόπος καὶ] ποιητὴς ἐπῶν· ὃς σβεσθεῖσαν τὴν ποιητικὴν ἐπανήγαγε. Δοῦρις δὲ Διοκλέους τε παῖδα ἀνέγραψε καὶ Σάμιον· ὁμοίως δὲ καὶ Ἡρόδοτος Θούριον. ἱστόρηται δὲ Πανύασις Ἡροδότου τοῦ ἱστορικοῦ ἐξάδελφος. γέγονε γὰρ Πανύασις Πολυάρχου· ὁ δὲ Ἡρόδοτος Λύξου, τοῦ Πολυάρχου ἀδελφοῦ. τινὲς δὲ οὐ Λύξην, ἀλλὰ Ῥοιώ, τὴν μητέρα Ἡροδότου, Πανυάσιδος ἀδελφὴν ἱστόρησαν. ὁ δὲ Πανύασις γέγονε κατὰ τὴν οη′ ὀλυμπιάδα· κατὰ δέ τινας πολλῷ πρεσβύτερος· καὶ γὰρ ἦν ἐπὶ τῶν Περσικῶν. ἀνῃρέθη δὲ ὑπὸ Λυγδάμιδος τοῦ τρίτου τυραννήσαντος Ἁλικαρνασσοῦ. ἐν δὲ ποιηταῖς τάττεται μεθ' Ὅμηρον· κατὰ δέ τινας καὶ μεθ' Ἡσίοδον καὶ Ἀντίμαχον. ἔγραψε δὲ καὶ Ἡρακλειάδα[4]) ἐν βιβλίοις ιδ′, εἰς ἔπη ͵θ′.

Cf. Procl. in Chrestom. I (supra p. 248). — Anonym. ap. Cram. An. Oxon. III p. 189. Andronici locum supra (p. 248) laudatum.

Dionys. Halicarn. vett. scrr. cens. II, 4. Πανύασις δὲ τάς τ' ἀμφοῖν (Hesiodi et Antimachi) ἀρετὰς

---

1) καὶ μηρεῖ Cod.; em. Cramer. 2) Cf. Paus. X, 8, 9 (5). 3) Cf. Clem. Alex. Strom. VI p. 266 (628 B) Sylb. 751 Pott. 4) Ἡράκλεια nomen est carminis ap. Athen. Clem. alios. Cf. infra.

*ἠνέγκατο, καὶ αὐτῶν πραγματείᾳ καὶ τῇ κατ' αὐτὸν οἰκονομίᾳ διήνεγκεν.*

Quintil. X, 1, 54. Panyasin, ex utroque (sc. Hesiodo et Antimacho) mixtum, putant in eloquendo neutrius aequare virtutes, alterum tamen ab eo materia, alterum disponendi ratione superari.

---

Subsidia. Funcke De Panyasidis vita et poesi, Bonnae 1837. Tzschirner Panyasidis fragmenta, praemissis de P. vita et carminibus commentationibus, Vratisl. (1836.) 1842. Dübner l. l. (v. supra) p. 13—20. Meineke Anal. Alexandr. p. 363—370. Näke Choeril. p. 14 sqq. Mueller Dor. II p. 471 sqq. Eckstein in Erschii Encycl. III, 11 p. 8 sqq. Bode I p. 503 sqq.

---

## HERACLEA.

Clem. Alex. Strom. VI p. 266 (628 B) Sylb. 751 Pott. (Multi scriptores) .... *αὐτοτελῶς τὰ ἑτέρων ὑφελόμενοι, ὡς ἴδια ἐξήνεγκαν, καθάπερ ..... Πανύασίς τε ὁ Ἁλικαρνασσεὺς παρὰ Κρεωφύλου*[1]) *τοῦ Σαμίου τὴν Οἰχαλίας ἅλωσιν.* Clementis verba laudat Euseb. Praep. Evang. X, 2 p. 462 D.

1. 2.

*Δέρμα τε θήρειον Βεμβινήταο λέοντος.*

---

*Καὶ Βεμβινήταο πελώρου δέρμα λέοντος.*

Steph. Byz. v. *Βέμβινα· κώμη τῆς Νεμέας ........ ὁ πολίτης Βεμβινίτης ...... ὡς Πανύασις ἐν Ἡρακλείας πρώτῃ „δέρμα — λέοντος". καὶ ἄλλως „καὶ — λέοντος".*

---

1) *Κλεοφύλου* Clem.

3.

Ps.-Eratosth. Catast. 11 (*Καρκίνος*). *Οὗτος δοκεῖ ἐν τοῖς ἄστροις τεθῆναι δι' Ἥραν, ὅτι μόνος, Ἡρακλεῖ τῶν ἄλλων συμμαχούντων*[1]), *ὅτε τὴν ὕδραν ἀνῄρει, ἐκ τῆς λίμνης ἐκπηδήσας ἔδακεν αὐτοῦ τὸν πόδα, καθάπερ φησὶ Πανύασις ἐν Ἡρακλείᾳ. θυμωθεὶς δ' ὁ Ἡρακλῆς δοκεῖ τῷ ποδὶ συνθλάσαι αὐτόν.* Eadem narrat Schol. ad German. Arat. p. 51 Buhl. [128 Breys. cf. p. 70]. Cf. Schol. ad Arat. 147. Phavorin. v. *καρκίνος*. p. 991 sq. Bas.

4.

*Τοῦ κεράσας κρητῆρα μέγαν χρυσοῖο φαεινόν,*
*σκύπφους αἰνύμενος θαμέας πότον ἡδὺν ἔνειμεν.*

Athen. XI p. 498 D: *Πανύασις τρίτῳ Ἡρακλείας φησί* „*τοῦ — ἔπινεν*".

5.

*Καί ῥ' ὃ μὲν ἐκ κόλποιο τροφοῦ θόρε ποσσὶ Θυώνης.*

Schol. ad Pind. Pyth. III, 177: *Θυώνην τὴν Σεμέλην λέγει. ........ ἔνιοι δὲ τὴν Θυώνην ἑτέραν τῆς Σεμέλης φασὶν εἶναι, τροφὸν τοῦ Διονύσου, ὥσπερ Πανύασις ἐν τρίτῳ Ἡρακλείας·* „*καί ῥ' — Θυώνης*".

6.

Clem. Alex. Protr. p. 10 (23 A) Sylb. 31 Pott. *Ναὶ μὴν καὶ τὸν Ἀιδωνέα ὑπὸ Ἡρακλέους τοξευθῆναι*

---

1) *τοῦ Ἰολάου συμμαχοῦντος* Gale; *τῶν περὶ Ἰόλαον συμμαχούντων* Koppiers. Cf. Apollod. II, 5, 2.

Fragm. IV. 1. Fort. *φαεινοῦ*. 2. *ἔνειμεν* Koechly coni. ep. I p. 14; *ἔπινεν* vulgo.

*Ὅμηρος*[1]) *λέγει καὶ τὸν Ἥλιον αὐτὸν*[2]) *Πανύασσις ἱστορεῖ.* Cf. Apollodor. II, 5, 10, 5: *θερμαινόμενος δὲ ὑπὸ Ἡλίου κατὰ τὴν πορείαν, τὸ τόξον ἐπὶ τὸν θεὸν ἐνέτεινεν· ὃ δὲ τὴν ἀνδρείαν αὐτοῦ θαυμάσας χρυσοῦν ἔδωκε δέπας κτλ.* (fragm. 7).

7.

Athen. XI p. 469 D: *Πανύασις δ' ἐν πρώτῳ*[3]) *Ἡρακλείας παρὰ Νηρέως*[4]) *φησὶ τὴν τοῦ Ἡλίου φιάλην κομίσασθαι τὸν Ἡρακλέα καὶ διαπλεῦσαι εἰς Ἐρύθειαν.* Macrob. Sat. V, 21 § 19: Poculo autem Herculem vectum ad *Ἐρύθειαν* id est Hispaniae insulam navigasse et Panyasis, egregius scriptor Graecorum, dicit et Pherecydes auctor est.

8.

Schol. Harl. Ambr. Vind. 56 ad Hom. Od. *μ*, 301: *Πανύασις φύλακα τῶν Ἡλίου βοῶν Φάλακρόν*[5]) *φησι γενέσθαι.*

---

1) Il. *E*, 395 sqq. 2) *τὸν Ἥλιον αὐτὸν*] Sic Heyne ad Apollod. p. 161; *τὸν Ἠλεῖον Αὐγέαν* vulgo. — Cod. Collegii novi *τὸν ἡλίου Αὐγέαν*, unde Potter *τὰς ἡλίου αὐγάς*. — Falsa cum veris commixta tradit Schol. ad loc. Vol. IV p. 107 Kl.: *δαίμων τις οὗτος Ἠλεῖος Αὐγέας, ἐναντίος τῷ Πλούτωνι, ὃν καὶ τοξευόμενον ὑπὸ Ἡρακλέους Πανύασσις εἰσάγει.* 3) *πρώτῳ* corruptum, *τετάρτῳ* Duebn. p. 14. — 4) „De partibus Nerei in hac fabula cf. Heynium ad Apollodor. p. 170 sq." Duebn. 5) *Φάλακρον*] *Φυλάϊκον* Harl. *Φυλάκιον* Ambr. *Φύλαιον* Vind. — „Panyasis armentorum illorum custodem neque Phylacium neque Phylaeum appellaverat, sed aut Phylacum, quod frequens in fabulis graecis nomen est, aut quod magis credo Phalacrum". Meineke Anal. Alex. p. 370.

9.

Paus. X, 29, 9 (4): *Πανύασις δὲ ἐποίησεν ὡς Θησεὺς καὶ Πειρίθους ἐπὶ τῶν θρόνων παράσχοιντο σχῆμα οὐ κατὰ δεσμώτας, προσφυὲς δὲ ἀπὸ τοῦ χρωτὸς ἀντὶ δεσμῶν σφίσιν ἔφη τὴν πέτραν.*

10.

Schol. ad Germ. Arat. p. 61 Breysig. Dicitur, cum ad mala aurea profectus esset (Hercules), ut refert Panuassis Heraclea, serpens hortorum custos immensae magnitudinis insomnisque fuisse. Qui cum Herculi obstiterit victorque maximo periculo Hercules abierit, Iovis hunc laborem memoriae dignum honoravit etc. (Cf. Schol. Strozz. p. 118 Br.) — Hygin. Astron. II, 6 p. 41 Bunte. Engonasin. Hunc Eratosthenes Herculem dicit, supra draconem collocatum ....... eumque paratum ut ad decertandum, sinistra manu pellem leonis, dextra clavam tenentem. Conatur interficere draconem Hesperidum custodem, qui numquam oculos operuisse somno coactus existimatur, quo magis custos adpositus esse demonstratur. De quo etiam Panyasis in Heraclea dicit. — Cf. Avien. Phaenom. 175 sqq. Panyasi sed nota tamen, cui longior aetas | eruit excussis arcana exordia rebus | etc. — Ps.-Eratosth. Catast. 4. Schol. ad Arat. 45.

11.

Steph. Byz. v. *Ἀσπίς. ἔστι καὶ πέραν Πίσης, ὡς Πανύασις ἐν Ἡρακλείας ἑνδεκάτῃ.* Cf. Muell. Dor. II p. 474[1]).

12.

*Ξεῖν' ἄγε δὴ καὶ πῖν'· ἀρετή νύ τίς ἐστι καὶ αὕτη,*
*ὅς κ' ἀνδρῶν πολὺ πλεῖστον ἐν εἰλαπίνῃ μέθυ πίνῃ*

1) „Die Gründung der olympischen Spiele kam wohl erst im elften Buche vor".

*εὖ καὶ ἐπισταμένως, ἅμα τ' ἄλλον φῶτα κελεύῃ·*
*ἶσόν θ' ὅστ' ἐν δαιτὶ καὶ ἐν πολέμῳ θοὸς ἀνὴρ*
*ὑσμίνας διέπων ταλαπενθέας, ἔνθα τε παῦροι*
*θαρσαλέοι τελέθουσι μένουσί τε θοῦρον Ἄρηα·*
*τοῦ μὲν ἐγὼ θείμην ἶσον κλέος ὅστ' ἐνὶ δαιτὶ*
*τέρπηται παρεὼν ἅμα τ' ἄλλον λαὸν ἀνώγῃ·*
*οὐ γάρ μοι ζώειν γε δοκεῖ βροτὸς οὐδὲ βιῶναι*
*ἀνθρώποιο βίον ταλασίφρονος, ὅστις ἀπ' οἴνου*
*θυμὸν ἐρητύσας πίνει ποτὸν ἄλλ' ἐνεόφρων·*
*οἶνος γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ,*
*ἐσθλόν, ἀλεξίκακον, πάσης συνοπηδὸν ἀοιδῆς·*
*ἐν μὲν γὰρ θαλίης ἱλαρὸν μέρος ἀγλαΐης τε,*
*ἐν δὲ χοροιτυπίης, ἐν δ' ἱμερτῆς φιλότητος·*
*τῷ σὲ χρὴ παρὰ δαιτὶ δεδεγμένον εὔφρονι θυμῷ*
*πίνειν, μηδὲ βορῆς κεκορημένον ἠύτε γῦπα*
*ἧσθαι πλημμύροντα λελασμένον εὐφροσυνάων.*

Stob. Floril. XVIII, 22 [Vol. I p. 317 Gaisf. ed. Lips.]: *Πανυάσιδος.* „*ξεῖν' — εὐφροσυνάων*". V. 12—18

---

Fragm. XII. 4. *θοὸς* suspectum. — 5. Legebatur *ἔνθα δὲ*; corr. Brunck. — 8. *λαὸν ἀνώγῃ*] *φῶτα κελεύῃ* Meineke. — 9. *οὐδὲ*] *ἠὲ* Brunck. — 11. *ἄλλ' ἐνεόφρων* Valck. pro vulgato *ἄλλο νεόφρων*; *ἀλλὰ κενόφρων* Schaefer. — 13. *πάσῃ — ἀνίῃ* Athen. Suid. *πάσῃ — ἀοιδῇ* Valck., *πάσῃ — ἀδείῃ* Jacobs ad Anthol. Palat. p. 670. — 14. *ἱλαρὸν*] Sic Koechly Coni. ep. I p. 10 sq. cf. Meinek. Analect. Crit. ad Athen. p. 20. *ἱερὸν* Stob. cf. ad Titanom. fragm. 6. — *ἐρατὸν* Athen.; *ἐρατῆς* ed. Meineke. — 15. *φιλότητος*] Apud Stobaeum legitur *φιλότητος· ἐν δέ τε μὲν θήρης καὶ δυσφροσύνης ἀλεγεινῆς· τῷ σὲ χρὴ κτλ.* Hunc versum poetae abiudicant omnes praeter Meinekium, qui Anal. Alexandr. p. 365 ex Hesychio v. *μενθήραις* et Etym. M. p. 508, 6 *μενθῆραι* coll. Phot. p. 258, 16 *ἐν δέ τε μενθήρης* legendum censet adnotans „Hac correctione admissa nihil iam ille versus habet quod non sit aptissimum" (? — cf. v. 17 *τῷ σὲ χρὴ — εὔφρονι θυμῷ κτλ.*). 17. *βορῇ κεκακωμένον* Stob. — *γῦπα*] *παῖδα* Ath.

affert Athen. II p. 37 A; v. 12—13 Suid. v. *οἶνος* [II, 2 p. 1277 Bernh.].

## 13.

*Πρώτην μὲν Χάριτές τ' ἔλαχον καὶ ἐύφρονες Ὧραι*
*μοῖραν καὶ Διόνυσος ἐρίβρομος, οἵπερ ἔτευξαν.*
*τοῖς δ' ἔπι Κυπρογένεια θεὰ λάχε καὶ Διόνυσος.*
*ἔνθα τε κάλλιστος πότος ἀνδράσι γίγνεται οἴνου,*
*εἴ τις τόνγε πίοι καὶ ἀπότροπος οἴκαδ' ἀπέλθοι*
*δαιτὸς ἀπὸ γλυκερῆς, οὐκ ἄν ποτε πήματι κύρσαι·*
*ἀλλ' ὅτε τις μοίρης τριτάτης πρὸς μέτρον ἐλαύνοι*
*πίνων ἀβλεμέως, τότε δ' ὕβριος αἶσα καὶ ἄτης*
*γίγνεται ἀργαλέη, κακὰ δ' ἀνθρώποισιν ὀπάζει.*
*ἀλλὰ πέπον, μέτρον γὰρ ἔχεις γλυκεροῖο ποτοῖο,*
*στεῖχε παρὰ μνηστὴν ἄλοχον, κοίμιζε δ' ἑταίρους·*
*δείδια γὰρ τριτάτης μοίρης μελιηδέος οἴνου*
*πινομένης μή σ' ὕβρις ἐνὶ φρεσὶ θυμὸν ἀέρσῃ,*
*ἐσθλοῖς δὲ ξενίοισι κακὴν ἐπιθῆσι τελευτήν.*
*ἀλλὰ πιθοῦ καὶ παῦε πολὺν πότον.*

Athen. II p. 36 D: *Πανύασις δ' ὁ ἐποποιὸς τὴν μὲν πρώτην πόσιν ἀπονέμει Χάρισιν Ὥραις καὶ Διονύσῳ, τὴν δὲ δευτέραν Ἀφροδίτῃ καὶ πάλιν Διονύσῳ, ὕβρει δὲ καὶ ἄτῃ τὴν τρίτην. Πανύασίς φησι „πρώτην — πότον“.*

---

Fragm. XIII. 1. Legebatur *πρῶται*; em. Hoeschel. — 5. *τόνγε πίοι* Koechly l. l. p. 14. *με πίοι* C. *γε πίοι* codex Hoeschelii. *μὲν πίνοι* Schweigh. — 6. *κύρσας* Schweigh. — 14. *ἐσθλ. ἐν ξεν. κακὴν δ' ἐπιθήσειε* libri; corr. Funck. Meineke. [*ἐσθλοῖσιν ξενίοισι κακὴν ἐπιθεῖσα τελ.* Jacobs ad Anthol. Pal. p. 667]. — 15. *ἀλλὰ πιθοῦ* Meineke pro vulgato *ἀλλ' ἄπιθι.*

14.

*Οἶνος δὲ θνητοῖσι θεῶν πάρα δῶρον ἄριστον,*
*ἀγλαός· ᾧ πᾶσαι μὲν ἐφαρμόζουσιν ἀοιδαί,*
*πάντες δ' ὀρχηθμοί, πᾶσαι δ' ἐραταὶ φιλότητες.*
*πάσας δ' ἐκ κραδίης ἀνίας ἀνδρῶν ἀλαπάζει*
*πινόμενος κατὰ μέτρον, ὑπὲρ μέτρον δὲ χερείων·*
*ἦ γάρ οἱ ἄτης τε καὶ ὕβριος αἶσ' ἅμ' ὀπηδεῖ.*

Athen. II p. 36 F — 37 B: *Πανύασις δὲ λέγει* „*οἶνος — εὐφροσυνάων*" (Fragm. XII, 12—18). *καὶ πάλιν* „*οἶνος — χερείων*" (v. 1—5). Versum sextum idem p. 36 D fragmento XIII laudato affert (*καὶ ἑξῆς περὶ ἀμέτρου οἴνου* „*ἐκ γάρ οἱ — ὀπηδεῖ*"). — Hos versus coniungendos esse vidit Meineke. Cf. Anal. Alexandr. p. 366. — V. 1. 5 citat Clem. Alex. Strom. VI p. 264 (622 A. B) Sylb. 742 Pott.

Fragmm. 4. 12—14 ad convivium apud Pholum centaurum retulit Muell. Dor. II p. 473.

15.

*Παρνησὸν νιφόεντα θοοῖς διὰ ποσσὶ περήσας*
*ἵκετο Κασταλίης Ἀχελωίδος ἄμβροτον ὕδωρ.*

Paus. X, 8, 9 (5): *Πανύασις δὲ ὁ Πολυάρχου πεποιηκὼς ἐς Ἡρακλέα ἔπη θυγατέρα Ἀχελῴου τὴν Κασταλίαν φησὶν εἶναι· λέγει γὰρ δὴ περὶ τοῦ Ἡρακλέους·* „*Παρνησὸν — ὕδωρ*". Cf. Muell. Dor. I p. 436 [1]).

---

Fragm. XIV. 1. *ὡς οἶνος θν.* Clem. — 2. *ἀγλαόν* praetulit Meineke Anal. crit. ad Athen. p. 20. — 5. *ὑπέρμετρος* Clem. — 6. *ἦ γάρ*] Sic Meineke Anal. Alexandr. p. 366 not.; *ἐκ γάρ* codd. Athen.; *καὶ γάρ* Naeke. — *αἶσ' ἅμ'* Naeke; *αἶσα* vulgo.

1) „Der von tiefer Schwermuth niedergedrückte Held wendet sich nun an den sühnenden Gott Apollon."

16.

Τλῆ μὲν Δημήτηρ, τλῆ δὲ κλυτὸς Ἀμφιγυήεις,
τλῆ δὲ Ποσειδάων, τλῆ δ' ἀργυρότοξος Ἀπόλλων
ἀνδρὶ παρὰ θνητῷ θητευέμεν εἰς ἐνιαυτόν.
τλῆ δὲ καὶ ὀβριμόθυμος Ἄρης ὑπὸ πατρὸς ἀνάγκῃ.

Clem. Alex. Protr. p. 10 (22 D) Sylb. 30 Pott. *Πανύασσις γὰρ ......... καὶ ἄλλους παμπόλλους ἀνθρώποις λατρεῦσαι θεοὺς ἱστορεῖ, ὧδέ πως γράφων· „τλῆ — ἀνάγκῃ", καὶ τὰ ἐπὶ τούτοις.* Cf. Muell. l. l. p. 437.

17.

Νύμφαι ...... Ἀχελήτιδες.

Schol. Laur. ad Apoll. Rhod. IV, 1149: *Πανύασις δὲ ἐν Λυδίᾳ τὸν Ἡρακλέα νοσήσαντα*[1]) *τυχεῖν ἰάσεως ὑπὸ Ὕλλου τοῦ ποταμοῦ, ὅς ἐστι τῆς Λυδίας· διὸ καὶ τοὺς δύο υἱοὺς αὐτοῦ Ὕλλους ὀνομασθῆναι.* — Schol. Vict. ad Hom. Il. Ω, 616 *ἀμφ' Ἀχελώιον] Τινὲς ἀμφ' Ἀχελήσιον. ποταμὸς δὲ Λυδίας, ἐξ οὗ πληροῦται Ὕλλος. καὶ Ἡρακλέους νοσήσαντος ἐπὶ τῶν τόπων, ἀναδόντων αὐτῷ θερμὰ λουτρὰ τῶν ποταμῶν, τοὺς παῖδας Ὕλλον ἐκάλεσε καὶ τὸν ἐξ Ὀμφάλης Ἀχέλητα, ὃς Λυδῶν ἐβασίλευεν. εἰσὶ δὲ καὶ νύμφαι Ἀχαλήτιδες, ὥς φησι Πανύασις.* — Steph. Byz. v. *Ἀκέλης. πόλις Λυδίας. οἱ πολῖται Ἀκέλητες, τὸ θηλυκὸν Ἀκελῆτις. ἔοικε δὲ λέγεσθαι ἀπὸ Ἀκέλου τοῦ Ἡρακλέους καὶ Μαλίδος παιδός, δούλης τῆς Ὀμφάλης, ὡς Ἑλλάνικος κτλ.*

---

Frag. XVI. 3. *θητευσέμεν* Clem. — 4. Legebatur *ἀνάγκης*; corr. Duentz. Duebn.

1) Naeke Choeril. p. 16.

18.

Ἔνθα δ' ἔναιε μέγας Τρεμίλης καὶ ἔγημε θύγατρα,
νύμφην Ὠγυγίην, ἣν Πραξιδίκην καλέουσι,
Σίβρῳ ἐπ' ἀργυρέῳ ποταμῷ παρὰ δινήεντι·
τῆς δ' ὀλοοὶ παῖδες Τλῷος Ξάνθος Πίναρός τε
καὶ Κράγος, ὃς κρατέων πάσας ληίζετ' ἀρούρας.

Steph. Byz. v. Τρεμίλη· ἡ Λυκία ἐκαλεῖτο οὕτως ἀπὸ Τρεμίλου, ὡς Πανύασις· „ἔνθα — ἀρούρας". Cf. Muell. Dor. II p. 474.

19.

Schol. ad Eur. Alc. 1: Ἀπολλόδωρος δέ φησι κεραυνωθῆναι τὸν Ἀσκληπιὸν ἐπὶ τῷ τὸν Ἱππόλυτον ἀναστῆσαι, Ἀμελησαγόρας δὲ ὅτι Γλαῦκον, Πανύασις ὅτι Τυνδάρεων. Cf. Adnotat. margin. ad Apollodor. III, 10, 4. Sext. Empir. adv. math. I, 261. Philodem. περὶ εὐσ. p. 17 Gomperz.

20.

Ἐν Πύλῳ ἠμαθόεντι.

Clem. Alex. Protr. p. 10 (23 A) Sylb. 31 Pott. Τὴν Ἥραν τὴν ζυγίαν ἱστορεῖ (τοξευθῆναι) ὑπὸ τοῦ αὐτοῦ Ἡρακλέους ὁ αὐτὸς οὗτος Πανύασσις „ἐν Π. ἠμαθόεντι". Cf. Arnob. adv. gent. IV, 25 (fr. 21).

21.

Arnob. adv. gent. IV, 25: Non ex vobis Panyassis unus est, qui ab Hercule Ditem patrem et reginam

---

Fragm. XVIII. 1. θύγατρα] „Fortasse γυναῖκα" Meineke. — 3. παρὰ δινήεντι] βαθυδινήεντι Meineke Diss. Acad. Berol. 1832 p. 106 not.; cf. Anall. Alex. p. 368.

memorat sauciatam esse Iunonem? Cf. Schol. ad Clem. Alex. Vol. IV p. 107 Kl. (v. supra p. 256 not. 2).

22.

Paus. IX, 11, 2 (1): *Ἐπιδεικνύουσι δὲ (οἱ Θηβαῖοι) Ἡρακλέους τῶν παίδων τῶν ἐκ Μεγάρας μνῆμα, οὐδέν τι ἀλλοίως τὰ ἐς τὸν θάνατον λέγοντες ἢ Στησίχορος ὁ Ἱμεραῖος καὶ Πανύασις ἐν τοῖς ἔπεσιν ἐποίησαν. Θηβαῖοι δὲ καὶ τάδε ἐπιλέγουσιν, ὡς Ἡρακλῆς ὑπὸ τῆς μανίας καὶ Ἀμφιτρύωνα ἔμελλεν ἀποκτιννύναι κτλ.*

23.

*βηλά.*

Schol. Ven. B et Lips. ad Hom. Il. *Α*, 591: *βηλός ἐστιν ὁ ἀνωτάτω τόπος τοῦ οὐρανοῦ· ἀπὸ γὰρ τοῦ βεβηκέναι — ἀπὸ τοῦ ὁδεύεσθαι. καὶ Πανύασις δὲ τὰ πέδιλα βηλά λέγει.* Cf. Etym. M. p. 196, 34. Suid. [I, 1 p. 989] et Zonar. (p. 389) v. *βίολα.* Gramm. ap. Bachm. Anecd. Grr. I p. 179.

24.

Apollodor. I, 5, 2: *Πανύασις δὲ Τριπτόλεμον Ἐλευσῖνος λέγει· φησὶ γὰρ Δήμητρα πρὸς αὐτὸν ἐλθεῖν.* [Cf. Hygin. fab. 147.] Ad Ionica[1]) retulit Mueller.

---

1) Suid. v. *Πανύασις. ἔγραψε ....... Ἰωνικὰ ἐν πενταμέτρῳ* [cf. Ulric. Hist. poes. I, 505], *ἔστι δὲ τὰ περὶ Κόδρον καὶ Νηλέα καὶ τὰς Ἰωνικὰς ἀποικίας, εἰς ἔπη ,ζ'.*

25.

Apollodor. III, 14, 4, 1: *Ἡσίοδος δὲ αὐτὸν* (sc. *Ἄδωνιν*) *Φοίνικος καὶ Ἀλφεσιβοίας λέγει, Πανύασις δέ φησι Θείαντος βασιλέως Ἀσσυρίων, ὃς ἔσχε θυγατέρα Σμύρναν. αὕτη κατὰ μῆνιν Ἀφροδίτης* (*οὐ γὰρ αὐτὴν ἐτίμα*) *ἴσχει τοῦ πατρὸς ἔρωτα, καὶ συνεργὸν λαβοῦσα τὴν τροφὸν ἀγνοοῦντι τῷ πατρὶ νύκτας δώδεκα συνηυνάσθη. ὃ δὲ ὡς ᾔσθετο, σπασάμενος τὸ ξίφος ἐδίωκεν αὐτήν· ἣ δὲ περικαταλαμβανομένη θεοῖς ηὔξατο ἀφανὴς γενέσθαι. θεοὶ δὲ κατοικτείραντες αὐτὴν εἰς δένδρον μετήλλαξαν, ὃ καλοῦσι σμύρναν. δεκαμηνιαίῳ δὲ ὕστερον χρόνῳ τοῦ δένδρου ῥαγέντος γεννηθῆναι τὸν λεγόμενον Ἄδωνιν, ὃν Ἀφροδίτη διὰ κάλλος ἔτι νήπιον, κρύφα θεῶν, εἰς λάρνακα κρύψασα Περσεφόνῃ παρέθετο. ἐκείνη δὲ ὡς ἐθεάσατο, οὐκ ἀπεδίθου. κρίσεως δὲ ἐπὶ Διὸς γενομένης εἰς μοίρας γ' διῃρέθη ὁ ἐνιαυτός, καὶ μίαν μὲν παρ' ἑαυτῷ μένειν τὸν Ἄδωνιν, μίαν δὲ παρὰ Περσεφόνῃ προσέταξε, τὴν δὲ ἑτέραν παρ' Ἀφροδίτῃ. ὁ δὲ Ἄδωνις ταύτῃ προσένειμε καὶ τὴν ἰδίαν μοῖραν.* — Hesych.: *Ἠοίην· τὸν Ἄδωνιν. Πανύασις.*

Haec ex Ionicis petita esse censet Heyne ad Apollodor. p. 327; cf. Muell. Dor. II p. 474.

26.

*Πέμματα πόλλ' ἐπιθεὶς πολλὰς δέ τε νοσσάδας ὄρνις.*

Athen. IV p. 172 D: *πεμμάτων δὲ πρῶτόν φησι μνημονεῦσαι Πανύασιν Σέλευκος ἐν οἷς περὶ τῆς παρ' Αἰγυπτίοις ἀνθρωποθυσίας διηγεῖται, πολλὰ μὲν*

*ἐπιθεῖναι λέγων πέμματα, πολλὰς δὲ νοσσάδας ὄρνις*[1]), προτέρου Στησιχόρου ....... εἰρηκότος. Cf. Muell. l. l. p. 472[2]).

## CHOERILUS SAMIUS.

Suid. v. Χοιρίλος [II, 2 p. 1691 Bernh.]. Σάμιος. [τινὲς δὲ Ἰασέα[3]), ἄλλοι δὲ Ἁλικαρνασσέα ἱστοροῦσι]. γενέσθαι δὲ κατὰ Πανύασιν τοῖς χρόνοις, ἐπὶ δὲ τῶν Περσικῶν, Ὀλυμπιάδι οε΄, νεανίσκον ἤδη εἶναι. δοῦλόν τε Σαμίου τινὸς αὐτὸν γενέσθαι, εὐειδῆ πάνυ τὴν ὥραν· φυγεῖν τε ἐκ Σάμου, καὶ Ἡροδότῳ τῷ ἱστορικῷ παρεδρεύσαντα λόγων ἐρασθῆναι· οὗτινος αὐτὸν καὶ παιδικὰ γεγονέναι φασίν. ἐπιθέσθαι δὲ ποιητικῇ, καὶ τελευτῆσαι ἐν Μακεδονίᾳ παρὰ Ἀρχελάῳ τῷ τότε αὐτῆς βασιλεῖ. ἔγραψε δὲ ταῦτα· τὴν Ἀθηναίων νίκην κατὰ Ξέρξου· [ἐφ' οὗ ποιήματος κατὰ στίχον στατῆρα χρυσοῦν ἔλαβε,][3]) καὶ σὺν τοῖς Ὁμήρου ἀναγινώσκεσθαι ἐψηφίσθη. [Λαμιακά·][3]) καὶ ἄλλα τινὰ ποιήματα[4]) αὐτοῦ φέρεται.

Plut. Lysand. 18: Σάμιοι δὲ τὰ παρ' αὐτοῖς Ἡραῖα Λυσάνδρεια καλεῖν ἐψηφίσαντο. τῶν δὲ πολιτῶν[5]) Χοιρίλον μὲν ἀεὶ περὶ αὐτὸν εἶχεν ὡς κοσμήσοντα τὰς πράξεις διὰ ποιητικῆς.

1) Poetae versum redintegravit Meineke Anall. Alex. p. 368; cf. Schneidew. Ibyc. p. 43 not. 14. 2) „Beim Hesperidenzug webte Pan. vermuthlich zuerst das Abenteuer ein, wo Herakles geopfert werden soll".

„Sed poterat in Ionicis quoque, carmine Odysseae dimidiam partem aequante, oblata esse de Aegyptiorum *ἀνθρωποποθυσίᾳ* dicendi occasio" Duebn. 3) Ad Choerilum Iasensem spectat. 4) Eudoc. p. 437: *ἔγραψε δὲ ἐπιστολὰς πολλάς, καὶ ἐπιγράμματα, καὶ κωμῳδίας.* 5) *ποιητῶν* al.; cf. Duebn. p. 21.

Athen. VIII p. 345 D: *Ἴστρος δέ φησι Χοιρίλον τὸν ποιητὴν παρ' Ἀρχελάου τέσσαρας μνᾶς ἐφ' ἡμέρᾳ λαμβάνοντα, ταύτας καταναλίσκειν εἰς ὀψοφαγίαν γενόμενον ὀψοφάγον.*[1])

Marcellin. Vita Thucyd. § 29 [I, 1 p. 325 Poppo]: *συνεχρόνισε δ', ὥς φησι Πραξιφάνης ἐν τῷ περὶ ἱστορίας, Πλάτωνι τῷ κωμικῷ, Ἀγάθωνι τραγικῷ, Νικηράτῳ ἐποποιῷ, καὶ Χοιρίλῳ, καὶ Μελανιππίδῃ.*

Suid.: *Ἔγραψε δὲ ....... τὴν Ἀθηναίων νίκην κατὰ Ξέρξου.* — Stob. Floril. (v. fragm. 7) *Χοιρίλου Περσηΐδος.* — Herodian. (v. fragm. 2): *Χοιρίλος ἐν α' Περσικῶν.* Cf. Propert. II, 1, 22.

Aristot. Top. VIII, 1 [p. 153ª 14]: *Εἰς δὲ σαφήνειαν παραδείγματα καὶ παραβολὰς οἰστέον, παραδείγματα δὲ οἰκεῖα καὶ ἐξ ὧν ἴσμεν, οἷα Ὅμηρος, μὴ οἷα Χοιρίλος· οὕτω γὰρ ἂν σαφέστερον εἴη τὸ προτεινόμενον.* Cf. ad fragm. 1. 1a.

---

Subsidia. — Choerili Samii quae supersunt collegit et illustravit, de Choerili Samii aetate vita et poesi .... diss. A. F. Naeke. Lips. 1817. Duebner Choerili Fragmenta. Par. 1840.

---

1.

*Ἆ μάκαρ, ὅστις ἔην κεῖνον χρόνον ἴδρις ἀοιδῆς,*
*Μουσάων θεράπων, ὅτ' ἀκήρατος ἦν ἔτι λειμών·*

---

1) „Choerilum ab Archelao quotidie, in singulos dies, accepisse quatuor minas: alius credat, non ego. Semel tantam pecuniam, ab Archelao acceptam, diei spatio in obsonia expenderit.“ Naeke p. 88.

Fragm. I. 1. *ἀοιδῶν* Schol. ap. Victor. — 2. *ἀκείρατος*

νῦν δ' ὅτε πάντα δέδασται, ἔχουσι δὲ πείρατα τέχναι,
ὕστατοι ὥστε δρόμου καταλειπόμεθ', οὐδέ πῃ ἔστι
πάντῃ παπταίνοντα νεοζυγὲς ἅρμα πελάσσαι.

Aristot. Rhet. III, 14 p. $1415^{a}$ 1: ἔτι δ' ἐκ τῶν δικανικῶν προοιμίων· τοῦτο δ' ἐστὶν ἐκ τῶν πρὸς τὸν ἀκροατήν, εἰ περὶ παραδόξου λόγος ἢ περὶ χαλεποῦ ἢ περὶ τεθρυλημένου πολλοῖς, ὥστε συγγνώμην ἔχειν, οἷον Χοιρίλος „νῦν δ' — δέδασται" (v. 3). Ipsos versus servarunt Schol. ad loc. ap. Victorium [Aristot. Rhet. ed. Gaisf. p. 448].

[1 a.]

Ἡγεό μοι λόγον ἄλλον, ὅπως Ἀσίης ἀπὸ γαίης
ἦλθεν ἐς Εὐρώπην πόλεμος μέγας.

Aristot. Rhet. III, 14 p. $1415^{a}$ 11: ἐν δὲ τοῖς λόγοις καὶ ἔπεσι δεῖγμά ἐστι τοῦ λόγου, ἵνα προειδῶσι περὶ οὗ ἦν ὁ λόγος καὶ μὴ κρέμηται ἡ διάνοια· τὸ γὰρ ἀόριστον πλανᾷ· ὁ δοὺς οὖν ὥσπερ εἰς τὴν χεῖρα τὴν ἀρχὴν ποιεῖ ἐχόμενον ἀκολουθεῖν τῷ λόγῳ. διὰ τοῦτο „μῆνιν ἄειδε θεά", „ἄνδρα μοι ἔννεπε Μοῦσα", „ἡγεό μοι — μέγας".

Fragmentum hoc ex Choerili Perseide desumptum esse censent Naeke p. 111 sqq. Schubart in Ephem. litt. Hal. a. 1840 Vol. I p. 509; repugnant Welcker Cycl. ep. I (1835) p. 313 sqq. Duentz. p. 4. Duebn. p. 23.

2.

Παρὰ δὲ κρήνας ἀρεθούσας
μυρία φῦλ' ἐδονεῖτο πολυσμήνοισι μελίσσαις .......

---

Victor. — 4. Legebatur οὐδέ τοι ἔστι; — οὐδέ πῃ ἔστι cod. Gaisf.

Fragm. II. 2. μελίσσαις | εἴκελοι Duebn., μελίσσαις | εἴκελα Meineke in Diar. Antiq. a. 1845 p. 1067.

Herodian. *περὶ μον. λέξ.* p. 13 [II p. 919 Lentz.]: *Ἀρέθουσα κρήνη κυρίως· ἀλλὰ καὶ πᾶσαι κρῆναι κατ' ἐπιθετικὴν ἔννοιαν οὕτω καλοῦνται, ἀπὸ τοῦ ἄρδειν ἴσως σχηματισθεῖσαι. ὅ γ' οὖν Χοιρίλος ἐν α'*[1]) *Περσικῶν „παρὰ — μελίσσαις"*. — „Ex descriptione itineris copiarum in Asia petitum puto, ex loco de commoratione Celaenis. Herodot. VII, 26. 27". Duebn.

3.

*Μηλονόμοι τε Σάκαι, γενεῇ Σκύθαι· αὐτὰρ ἔναιον*
*Ἀσίδα πυροφόρον· νομάδων γε μὲν ἦσαν ἄποικοι,*
*ἀνθρώπων νομίμων.*

Strab. VII p. 303: *καλεῖ δὲ καὶ (Ἔφορος) Χοιρίλον εἰπόντα ἐν τῇ διαβάσει τῆς σχεδίας [ἣν ἔζευξε Δαρεῖος]*[2]) *„μηλονόμοι — νομίμων"*.

4.

*Τῶν δ' ὄπιθεν διέβαινε γένος θαυμαστὸν ἰδέσθαι,*
*γλῶσσαν μὲν Φοίνισσαν ἀπὸ στομάτων ἀφιέντες,*
*ᾤκεον δ' ἐν Σολύμοις ὄρεσι πλατέῃ ἐπὶ λίμνῃ·*
*αὐχμαλέοι κορυφάς, τροχοκουράδες, αὐτὰρ ὕπερθεν*
*ἵππων δαρτὰ πρόσωπ' ἐφόρευν ἐσκληκότα καπνῷ.*

Ioseph. c. Apion. I, 22 p. 454 [Vol. II p. 353 Dind. (ed. Par. 1865)]. *Καὶ Χοιρίλος δὲ ἀρχαιότερος γενόμενος ποιητής, μέμνηται τοῦ ἔθνους ἡμῶν, ὅτι συνεστράτευται Ξέρξῃ τῷ Περσῶν βασιλεῖ ἐπὶ τὴν Ἑλλάδα. καταριθμησάμενος γὰρ πάντα τὰ ἔθνη τελευταῖον καὶ*

---

1) *δ'* Meineke l. l. 2) Cf. Naeke p. 127—129.

Fragm. VI. 3. *ᾤκεον* aut *ᾤκουν* codd. Eusebii. Variant Iosephi libri; *ᾤκουν* ed. Dind. — *ἐπὶ*] *παρὰ* Euseb. — 4. *κεφαλάς* Euseb. — 5. *ἐφόρουν* Euseb.

τὸ ἡμέτερον ἐνέταξε λέγων „τῶν — καπνῷ“. Iosephum sequitur Euseb. Praep. Ev. IX, 9 p. 412 B.

5.

Schol. Laur. ad Apoll. Rhod. I, 211 de Orithyiae raptu disserens: *Χοιρίλος δὲ ἁρπασθῆναί φησιν αὐτὴν ἄνθη ἀμέργουσαν*[1]) *ὑπὸ τὰς τοῦ Κηφισοῦ πηγάς*. Ex quibus Hermann versum restituit, *ἄνθε' ἀμέργουσαν πηγὰς ὕπο Κηφισοῖο*.

Scholiastam Apollonii Cephissum pro Ilisso scripsisse probabilis est coniectura Naekii p. 153.[2])

6.

*Νηῦς δέ τις ὠκύπορος Σαμίη συὸς εἶδος ἔχουσα.*

Hesych. v. *Σαμιακὸς τρόπος· Δίδυμος δὲ τὰς Σαμαίνας ἰδιαιτέραν παρὰ τὰς ἄλλας ναῦς τὴν κατασκευὴν ἔχειν· εὐρύτεραι μὲν γάρ εἰσι τὰς γαστέρας. τοὺς δὲ ἐμβόλους σεσίμωνται, ὡς δοκεῖν ῥύγχεσιν ὑῶν ὁμοίως κατεσκευάσθαι, οἷον ὑοπρώρους εἶναι. διὸ καὶ ἐπὶ τ(οι)αύτης λέγεται „ναῦς — ἔχουσα“.* Eadem narrat Phavorin. p. 1633, 31 sqq. ed. Bas. — Choerili versum esse discimus e Photii Lex. v. *Σαμιακὸν τρόπον· Ὑσὶ γὰρ ἐμφερεῖς εἶχε τὰς πρῴρας τὰ τῶν Σαμίων πλοῖα, ὡς Χοιρί(λο)χος ὁ Σάμιος.*

---

1) ἀμέργουσαν Pierson veris. p. 202 et Naeke p. 154; ἀμέλγουσαν cod. Laur., ἐκλέγουσαν Par. — 2) Naeke p. 152: „Haud dubie eodem loco atque eadem occasione Boreae et Orithyiae mentionem fecerat Choerilus, qua eam fabulam insertam legimus ab Herodoto VII, 189 .......... Boreae operam, qua adiuvisset Athenienses, fortasse splendida narratione descripsit Choerilus“.

Fragm. VI. ναῦς — Σαμία ὑὸς Hesych.

7.

*Ὅρκον δ' οὔτ' ἄδικον χρεὼν ἔμμεναι οὔτε δίκαιον.*

Stob. Floril. XXVII, 1 [Vol. I p. 380 Gaisf. ed. Lips.]: *Χοιρίλου Περσηίδος.* „*ὅρκον — δίκαιον*".[1])

8.

*Ἐπὶ πρὸ δὲ μᾶσσον ἐπ' ἄκρου*
*Αἰγάλεω θυμόεντος, ἄγων μέγαν ὑετόν, ἔστη.*

Suid. v. *μᾶσσον* [II, 1 p. 721 sq. Bernh.] et Phavorin. Lex. v. *μᾶσσον* (p. 1214, 47 Bas.): *μεῖζον, μακρότερον·* „*ἐπὶ πρὸ — ἔστη*". — Verba *ἄγων — ἔστη* citat Suid. v. *ὑετός* [II, 2 p. 1299]. Fragmentum hoc Choerilo vindicavit Buttmann. „De Xerxe poetam loqui, qui spectaturus erat pugnam Salaminiam [Herodot. VIII, 90], Toupius Emend. in Suidam P. II. Vol. I, p. 398 sq. ed. Oxon. accurata explicatione docet" Naeke in Indice praelectt. hibern. Bonnens. 1827. p. 3.

9.

*Χερσὶν δ' ὄλβον ἔχω κύλικος τρύφος ἀμφὶς ἐαγός,*
*ἀνδρῶν δαιτυμόνων ναυάγιον, οἷά τε πολλὰ*
*πνεῦμα Διωνύσοιο πρὸς ὕβριος ἔκβαλεν ἀκτάς.*

Athen. XI p. 464 A: *παραιτητέον δ' ἡμῖν τὰ κεράμεα ποτήρια. καὶ γὰρ Κτησίας* „*παρὰ Πέρσαις*" *φησὶν*

---

1) „Persam loquentem audire tibi videaris, vel poetam de Persis. Quos veritatis fuisse studiosissimos, testatur, ut unum advocem, Herodot. I. 138". Naeke p. 160.

Fragm. VIII. 2. *θυόεντος* Küster.

Fragm. IX. 1. *χερσὶν* | *ὄλβον ἄνολβον* Naeke, *χερσὶν ἄνολβον* Toup. — 3. *ἔκβαλ' ἄνακτος* codd.; corr. Canter.

„ὃν ἂν βασιλεὺς ἀτιμάσῃ, κεραμέοις χρῆται“. Χοιρίλος δ' ὁ ἐποποιός φησιν „χερσὶν — ἀκτάς“.

Haec a Xerxe victo dici potuisse observavit Hermann.

10.

*Πέτρην κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείῃ.*

Simplic. ad Aristot. Phys. VIII. f. 276 b. p. 429ᵃ 41 Brandis: τὸ γὰρ λέγειν, φησίν, ὅτι κινεῖται μὲν ἀεὶ πάντα, λανθάνει δὲ ἡμᾶς τῷ κατ' ὀλίγον, ὅμοιόν ἐστιν ἐκείνῳ τῷ λόγῳ τῷ περὶ τοῦ τὸν συνεχῆ τοῦ ὕδατος σταλαγμὸν κοιλαίνειν τὴν πέτραν· „πέτρην — ἐνδελεχείῃ“, φησὶν ὁ Χοιρίλος. — Versum sine nomine auctoris affert Galen. de temper. III, 4 (Vol. I p. 676 Kühn), de locis adfectis I, 2 (Vol. VIII p. 27 Kühn).

11. 12.

*γῆς ὀστέα. — γῆς φλέβες.*

Tzetz. in Walzii Rhet. III p. 650: ὥσπερ ποιεῖ Χοιρίλλος | καλῶν τοὺς λίθους γῆς ὀστᾶ, τοὺς ποταμοὺς γῆς φλέβας.

13.

Diog. Laert. I, 1, 3 § 24 de Thalete: Ἔνιοι δὲ καὶ αὐτὸν πρῶτον εἰπεῖν φασιν ἀθανάτους τὰς ψυχάς· ὧν ἐστι Χοιρίλος ὁ ποιητής.

14.

Schol. Bern. ad Verg. Georg. I, 482 (p. 882 Hagen) de Eridano: Ctesias hunc in India esse adfirmat, vel Choerilus in Germania, in quo fluvio Phaethon[1]) ex-

1) Sic Hagen pro feton; edion Serv.

stinctus est. Cf. Serv. ad loc., quem primus citavit Naeke in Indice praelectt. hibern. Bonn. 1838.

## EPILYCUS.

Suid. v. *Κράτης* [Vol. II, 1 p. 394 Bernh.]. *Ἀθηναῖος, κωμικός· οὗ ἦν ἀδελφὸς Ἐπίλυκος, ποιητὴς ἐπῶν.*

## MELANIPPIDES.

Suid. v. [II, 1 p. 757 Bernh.] *Μελανιππίδης, Κρίτωνος, γεγονὼς κατὰ τὴν ξε' Ὀλυμπιάδα, Μήλιος. ἔγραψε δὲ ...... καὶ ποιήματα ἐπικά, καὶ ἐπιγράμματα κτλ.* Cf. Marcellin. Vit. Thuc. § 29.

## NICERATUS.

Marcellin. Vit. Thucyd. § 29 [I, 1 p. 325 Poppo]: *συνεχρόνισε δ', ὥς φησι Πραξιφάνης ἐν τῷ περὶ ἱστορίας, ......... Νικηράτῳ ἐποποιῷ, καὶ Χοιρίλῳ, καὶ Μελανιππίδῃ.*

## ANTIPHON.

Suid. v. [I, 1 p. 492 Bernh.]. *Ἀντιφῶν Ἀθηναῖος, τερατοσκόπος καὶ ἐποποιὸς καὶ σοφιστής· ἐκαλεῖτο δὲ λογομάγειρος.*

Diog. Laert. II, 5, 25 § 46: *τούτῳ* (sc. Socrati) *τίς, καθά φησιν Ἀριστοτέλης ἐν τρίτῳ περὶ ποιητικῆς*[1]), *ἐφιλονείκει ..... Ἀντιφῶν τερατοσκόπος.*

1) *ποιητῶν* al.

Cf. Xenoph. Memorab. I, 6. Cic. de div. I, 20, 39. 51, 116. II, 70, 144. Artemidor. II, 14 p. 103 (109 Herch.). Lucian. Ver. Hist. II, 33. Athen. XV p. 673 F. Hermog. in Walzii Rhett. Grr. III p. 386. — Ruhnken De Antiphonte Cap. IV [Davidis Ruhnkenii Opuscula. Lugd. 1807. p. 249 sqq.].

## ANTIMACHUS.

Suid. v. [I, 1 p. 475 Bernh.]. *Ἀντίμαχος, Κολοφώνιος*[1]), *υἱὸς Ὑπάρχου, γραμματικὸς καὶ ποιητής. τινὲς δὲ καὶ οἰκέτην αὐτὸν ἀνέγραψαν Πανυάσιδος τοῦ ποιητοῦ, πάνυ ψευσάμενοι. ἦν γὰρ αὐτοῦ ἀκουστὴς καὶ Στησιμβρότου. γέγονε δὲ πρὸ Πλάτωνος.*

Diodor. XIII, 108: *Μικρὸν δὲ τῆς εἰρήνης ὕστερον* (?) *ἐτελεύτησε Δαρεῖος ὁ τῆς Ἀσίας βασιλεύς ...... τὴν δ' ἡγεμονίαν διεδέξατο τῶν υἱῶν ὁ πρεσβύτατος Ἀρταξέρξης* (Mnemon) ... *καθ' ὃν δὴ χρόνον καὶ Ἀντίμαχον τὸν ποιητὴν Ἀπολλόδωρος ὁ Ἀθηναῖός φησιν ἠνθηκέναι.*

Plut. Lysand. 18: *Ἀντιμάχου δὲ τοῦ Κολοφωνίου καὶ Νικηράτου τινὸς Ἡρακλεώτου ποιήμασι Λυσάνδρεια διαγωνισαμένων ἐπ' αὐτοῦ τὸν Νικήρατον ἐστεφάνωσεν, ὁ δὲ Ἀντίμαχος ἀχθεσθεὶς ἠφάνισε τὸ ποίημα. Πλάτων δὲ νέος ὢν τότε καὶ θαυμάζων τὸν Ἀντίμαχον ἐπὶ τῇ ποιητικῇ, βαρέως φέροντα τὴν ἧτταν ἀνελάμβανε καὶ παρεμυθεῖτο, τοῖς ἀγνοοῦσι κακὸν εἶναι φάμενος τὴν ἄγνοιαν, ὥσπερ τὴν τυφλότητα τοῖς μὴ βλέπουσιν.* Cf. Cic. Brut. 51. — Procl.

1) Clarius est apud Ovid. Trist. I, 6, 1.

in Plat. Tim. I p. 28 C (64 Schneid.): *Εἴπερ γάρ τις ἄλλος, καὶ ποιητῶν ἄριστος κριτὴς ὁ Πλάτων. ...... Ἡρακλείδης γοῦν ὁ Ποντικός φησιν, ὅτι τῶν Χοιρίλου τότε εὐδοκιμούντων Πλάτων τὰ Ἀντιμάχου προὐτίμησε καὶ αὐτὸν ἔπεισε τὸν Ἡρακλείδην εἰς Κολοφῶνα ἐλθόντα τὰ ποιήματα συλλέξαι τοῦ ἀνδρός· μάτην οὖν φληναφοῦσι Καλλίμαχος καὶ Δοῦρις ὡς Πλάτωνος οὐκ ὄντος ἱκανοῦ κρίνειν ποιητάς.*

Quintil. X, 1, 53: In Antimacho vis et gravitas et minime vulgare eloquendi genus habet laudem. Sed quamvis ei secundas fere grammaticorum consensus[1]) deferat, et adfectibus et iucunditate et dispositione et omnino arte deficitur, ut plane manifesto appareat, quanto sit aliud proximum esse, aliud parem[2]).

Dion. Halicarn. cens. vett. scrr. II, 3: *Ἀντίμαχος δ' (ἐφρόντισεν) εὐτονίας, καὶ ἀγωνιστικῆς τραχύτητος, καὶ τοῦ συνήθους τῆς ἐξαλλαγῆς.* — De compos. verb. 22: *Ταύτης δὲ τῆς ἁρμονίας* (sc. *τῆς αὐστηρᾶς*) *πολλοὶ μὲν ἐγένοντο ζηλωταὶ κατά τε ποίησιν καὶ ἱστορίαν καὶ λόγους πολιτικούς, διαφέροντες δὲ τῶν ἄλλων, ἐν μὲν ἐπικῇ ποιήσει ὅ τε Κολοφώνιος Ἀντίμαχος καὶ Ἐμπεδοκλῆς ὁ φυσικός.* Plut. Timol. 36: *Ἡ μὲν Ἀντιμάχου ποίησις καὶ τὰ Διονυσίου ζωγραφήματα, τῶν Κολοφωνίων, ἰσχὺν ἔχοντα καὶ τόνον ἐκβεβιασμένοις καὶ καταπόνοις ἔοικε, ταῖς δὲ Νικομάχου γραφαῖς καὶ τοῖς Ὁμήρου στίχοις μετὰ τῆς ἄλλης δυνάμεως καὶ χάριτος πρόσεστι τὸ δοκεῖν εὐχερῶς καὶ ῥᾳδίως ἀπειργάσθαι.* Procl. in Plat. Tim. I p. 20 E

---

1) Cf. Procl. in Chrestom. I; Dübn. p. 30. 2) parem] Sic Hertz; legebatur secundum.

(45 sq. Schneid.): *Καὶ γὰρ εἴ τι τεχνικόν ἐστι παρά τινι τῶν ποιητῶν ὕψος, πολὺ τὸ μεμηχανημένον ἔχει καὶ στομφῶδες*[1]), *μεταφοραῖς χρώμενον ὡς τὰ πολλά, καθάπερ τὸ Ἀντιμάχειον.* Cf. Antipat. Thessal. in Anthol. Palat. VII, 409.

Schol. ad Nicand. Ther. 3: *Ἔστι δὲ ὁ Νίκανδρος ζηλωτὴς Ἀντιμάχου, διόπερ πολλαῖς λέξεσιν αὐτοῦ κέχρηται· διὸ καὶ ἐν ἐνίοις δωρίζει.*

Subsidia. Antimachi Colophonii reliquiae, nunc primum conquirere et explicare instituit C. A. G. Schellenberg. Hal. 1786. — Blomfield Diatribe in Antimacho Colophonio in Diar. Class. Vol. VII p. 231 sqq. [Gaisford Poett. Minn. Grr. Vol. III p. 349 sqq. ed. Lips.] — Antimachi fragmenta ed. Dübner. Par. 1840 (v. supra p. 203). — Ant. Coloph. reliquias praemissa de eiusvita et scriptis disputatione collectas explanavit H. G. Stoll. Dillenb. 1845. Eiusd. Animadversiones in Antimachi Colophonii fragmenta. Gott. 1840. — Poetae lyrici Graeci ed. Bergk p. 485—489 [611—615 ed. III]. — Volkmann in Paulyi Encycl. $I^2$ p. 1121 sqq.

---

## THEBAIS.

Acron ad Horat. Epist. ad Pis. 146 [II p. 601 Hauthal.]: Antimachus poeta reditum Diomedis narrans coepit ab exordio primae originis, id est, coepit ab interitu Meleagri.

Porphyrion ad loc. [Vol. II p. 656 Hauthal]: Nec reditum Diomedis ab interitu Meleagri] Antimachus. Fuit cyclicus poeta. Hic adgressus est materiam, quam sic

1) *σομφῶδες* Jacobs.

extendit, ut viginti quattuor volumina inpleverit, antequam septem duces usque ad Thebas perduceret. Cf. Acron ad v. 136. [Aristot. Rhet. III, 6; infra ad fr. 2.]

Cic. Brut. 51: Nec enim posset idem Demosthenes dicere, quod dixisse Antimachum, clarum poetam, ferunt, qui quum convocatis auditoribus legeret eis magnum illud[1]) quod novistis volumen suum, et eum legentem omnes praeter Platonem reliquissent, „legam", inquit, „nihilo minus: Plato enim mihi unus instar est milium". De quibus recte iudicavit Volkmann in Paulyi Encycl. I² p. 1121.

Plut. moral. p. 513 A: *Ὁ δὲ περιττὸς καὶ ἀδολέσχης, ἄν γε δὴ τύχῃ καὶ τὸν Κολοφώνιον ἀνεγνωκὼς Ἀντίμαχον κτλ.* Cf. Duebn. p. 29 extr.

Porphyrius ap. Euseb. Praep. Evang. X, 3 p. 467 A: *Ὁ δ' Ἀντίμαχος τὰ Ὁμήρου κλέπτων παραδιορθοῖ*, de quibus infra (ad fr. 47—49) plura dicentur. — Eustath. ad Hom. Il. p. 9 Rom. (v. ad fr. 1): *Ἀντίμαχος Ὁμηρικῷ ζήλῳ φησίν κτλ.*

1.

*Ἐννέπετε Κρονίδαο Διὸς μεγάλοιο θύγατρες.*

Eustath. ad Hom. Il. *Α*, 1 p. 9, 43 Rom. (8 Bas.): *Τῷ δὲ Ὁμηρικῷ τούτῳ σχήματι πολλοὶ καὶ ἄλλοι ἐνηγλαΐσαντο· οὐ μόνον γὰρ Ἡσίοδος ἐκ τῆς τῶν Μουσῶν ἐπικλήσεως ἄρχεται, ἀλλὰ καὶ Ἀντίμαχος Ὁμηρικῷ ζήλῳ φησίν „ἐννέπετε — θύγατρες".* Eundem versum afferunt Schol. Ven. A et Lips. ad loc.; Schol. Hom. ap. Matrang. Anecd. Gr. p. 374.

---

1) Cf. Schol. ad Stat. Theb. III, 466 [infra fr. 30].

2.

*Ἔστι τις ἠνεμόεις ὀλίγος λόφος.*

Aristot. Rhet. III, 6 p. 1408ª 1: Καὶ τὸ Ἀντιμάχου χρήσιμον, ἐξ ὧν μὴ ἔχει λέγειν, ὃ ἐκεῖνος ποιεῖ ἐπὶ τοῦ Τευμησσοῦ, „ἔστι — λόφος", αὔξεται γὰρ οὕτως εἰς ἄπειρον.[1]) Strab. IX p. 409: ἐν δὲ τῇ Θηβαίων εἰσὶ καὶ αἱ Θέραπναι καὶ ὁ Τευμησσός, ὃν ἐκόσμησεν Ἀντίμαχος διὰ πολλῶν ἐπῶν, τὰς μὴ προσούσας ἀρετὰς διαριθμούμενος „ἔστι — λόφος". γνώριμα δὲ τὰ ἔπη.

3.

*Οὕνεκά οἱ Κρονίδης, ὅσπερ μέγα πᾶσιν ἀνάσσει,*
*ἄντρον ἐνὶ σκηνῇ τευμήσατο, τόφρα κεν εἴη*
*Φοίνικος κούρη κεκυθημένη, ὥς ῥά ἓ μή τις*
*μηδὲ θεῶν ἄλλος γε παρὲξ φράσσαιτό κεν αὐτοῦ.*

Steph. Byz. v. Τευμησσός. ἐκλήθη δ' οὕτως, ὡς Ἀντίμαχος πρώτῳ Θηβαΐδος „οὕνεκα — αὐτοῦ".

---

1) Cf. Stephanum ad loc. in Cram. An. Par. I p. 306.

Fragm. III. 1. ὅσπερ] ὃς libri; ὅστε vel ὃς δὴ Schellenb., ὅσπερ Hermann. — πᾶσιν] πάντων libri; corr. Holsten. — ὃς δὴ πάντων μέγ' Duentz. — 2. Locus nondum emendatus. Vulgo σκιῇ; σκηνῇ quod solus praebet cod. Rhed., recepit Meineke. σπῆι Jacobs, στίῃ Meineke ad Euphor. p. 129, στείνει idem ad Steph. Byz. p. 619; ἄντρῳ ἔνι σκηνήν Unger Paradox. Theb. I p. 156, ἄντρον ἐκεῖ σκιερὸν Koechly Coni. ep. I p. 15, ἄντρον ἐν ἐσχατιῇ Hermann. — τόφρα κ' ἐνείη Unger l. l. — 3. κεκυθμένα vel κεκευθμένα libri; corr. Herm. (κεκρυμμένη Stoll.). — ἓ conservavit cod. Rhed., qui ὅς ῥα ἓ μῆτις exhibet (ὅς ῥα μητις Paris. ap. Meinek.), unde ὥς ῥά ἓ μή τις Unger l. l. (sed ὡς ἄρα μῆτιν — παρεκφράσσαιτο idem Unger in Anal. crit. p. 25).

4.

*Τευμησσόνδε.*

Steph. Byz. l. l.: οἱ κατοικοῦντες Τευμήσσιοι, καὶ Τευμησσία ἡ ἀλώπηξ ἀπὸ τοῦ ὄρους, καὶ τὸ οὐδέτερον Τευμήσσιον. καὶ τὸ ἐκ τόπου Τευμησσόθεν, καὶ τὸ εἰς τόπον Τευμησσόνδε. Ἀντίμαχος ἐν πρώτῳ Θηβαΐδος.

5.

*Οἷοι ἔσαν βασιλεύτορες Αἰγιαλήων.*

Etym. M. p. 189, 5: βασιλεύτωρ· παρὰ τὸ βασιλεύ(σ)ω. Ἀντίμαχος ἐν πρώτῃ Θηβαΐδος· „οἷοι — αἰπαλήων". Eadem habet Etym. Flor. [Miller Mélanges p. 61]; verba οἷοι — βασιλεύτορες affert Zonar. p. 370 Tittm. — Zonarae locum indicavit Duentz. Suppl. p. 38.

6. 7.

*Τύδης τ' Οἰνείδης.*

---

*Τὸν καὶ φωνήσας προσέφης, Οἰνήιε Τύδη.*

Priscian. VI, 92 [Gramm. Lat. Vol. II p. 276 Keil] de formis Ὄρφης (pro Ὀρφεύς), Τύδης (pro Τυδεύς) disserens: Sic Antimachus in I Thebaidos: „Τύδης τ' Οἰνείδης" et vocativum in e productam „τὸν — Τύδη", teste Herodiano, qui hoc ponit in I Catholicorum.

---

Fragm. IV. Τευμησσόνδε Stoll, qui p. 37: „Extrema verba (Stephani) potissimum referimus ad Τευμησσόνδε, quamquam reliquis quoque Antimachum usum esse non negamus".

Fragm. V. οἷοι Etym. Par. (cod. 346) cum Zonara [cf. Meineke Anal. Alex. p. 116]; legebatur οἵ οἱ. — ὅσσοι Stoll. — Αἰγιαλήων Valck. ad Herod. V, 68 p. 406 pro αἰπαλήων.

8.

*Κύνθος.*

Steph. Byz. v. *Κύνθος, παρ' Ἀντιμάχῳ ἐν πρώτῃ Θηβαΐδος.*

9.

*Ἀσπασίως τέ σφω ἄγεν οἴκαδε.*

Apollon. Dysc. de pronom. p. 373 C: *τὸ πλῆρες σφωέ· παρὰ γὰρ Ἀντιμάχῳ καὶ μονοσυλλάβως ........ ἐν πρώτῃ (Θηβαΐδος)· „ἀσπασίως — οἴκαδε".*

10.

*Σφωίτερον μῦθον.*

Ibid. p. 401 B., cf. ad fragm. 13.

11.

*Τὸ καί σφω γείνατο μήτηρ.*

Ibid. p. 373 C: *τὸ πλῆρες σφωέ· παρὰ γὰρ Ἀντιμάχῳ καὶ μονοσυλλάβως ἐν τρίτῃ Θηβαΐδος· „τὸ — μήτηρ".*

12.

Schol. Ven. A ad Hom. Il. *Δ*, 400 [p. 189 Dind.]: *Ἀντίμαχός φησιν παρὰ συφορβοῖς ἀνατετράφθαι Τυδέα.* Cf. Schol. Ven. B et Vict. ap. Bekk. Schol. Par. ap. Cram. Anecd. Par. III p. 375.

13.

*Σφωιτέρην ...... ὀιζύν.*

Apoll. Dysc. de pronom. p. 401 B—C: *Καὶ ἀπ' αὐτῆς* (pronomine *σφῶϊν*) *κτητικὴν παρ' Ἀντιμάχῳ εἰρῆσθαι*

---

Fragm. XI. *τῷ* Bekk.; sed v. Stoll p. 40.
Fragm. XIII. *σφωιτ. δι' ὀιζ.* ci. Dübn.

*ἐπὶ Τυδέως καὶ Πολυνείκους τὸ „σφωιτέρην ὀιζύν“· καὶ διὰ τῆς δευτέρας Ἐτεοκλέους καὶ Πολυνείκους τὸ „σφωίτερον μῦθον“* (fragm. 10), *ἑαυτοῖς ἐναντιοῦνται.*

14.

Interpr. Maii Verg. Aen. X, 565 p. 323 Lion: Homerus[1]) amicum Aegaeona dicit Iovis. Sed Antimachus in III Thebaidos dicit adversum eum armatum[2]).

15.

*Ἄλλοι δὲ κρητῆρα πανάργυρον ἠδὲ δέπαστρα*
*οἰσόντων χρύσεια, τά τ' ἐν μεγάροισιν ἐμοῖσι*
*κείαται . . . . . .*

16.

*Πάντα μάλ', ὅσσ' Ἄδρηστος ἐποιχομένους ἐκέλευσε*
*ῥεξέμεν· ἐν μὲν ὕδωρ, ἐν δ' ἀσκηθὲς μέλι χεῦαν*
*ἀργυρέῳ κρητῆρι, περιφραδέως κερόωντες·*
*νώμησαν δὲ δέπαστρα θοῶς βασιλεῦσιν Ἀχαιῶν*
*ἐνσχερὼ ἑστηῶσι, καὶ ἐς λοιβὴν χέον εἶθαρ*
*χρυσείῃ προχόῳ . . . .*

17.

*Καὶ χρύσεια δέπαστρα καὶ ἀσκητὸν κελέβειον*
*ἔμπλειον μέλιτος, τό ῥά οἱ προφερέστατον εἴη.*

---

1) Il. *A*, 402 sqq. 2) dicit — armatum] d. adv. eum armacm cod.

Fragm. XVI. 2. *ἀσκηθὲς*] *ἄκρητον* Stoll. — *χεῦαν* Schellenb. pro codicum *χεῦε* et *χεῦεν*. — 5. Legebatur *ἐκ χερὸς εἱστιῶσι*; — *ἐνσχερὼ εἱστιόωσι* Jacobs Append. ad Porson. Advers. p. 320; *ἐνσχερὼ ἑστηῶσι* Hermann. —

Fragm. XVII. 1. *ἀσκητὸν* Stoll pro *ἀσκηθές*. — 2. *προφερέστατον* Stoll hic et fr. XVIII pro *προφερέστερον* comprobante Meinekio Anal. crit. ad Ath. p. 215.

18.

Ἀτὰρ ἀμφίθετον κελέβειον ἑλόντες
ἔμπλειον μέλιτος, τό ῥά οἱ προφερέστατον ἦεν.

19.

Κήρυκάς θ' ἅμα τοῖσι φέρειν μέλανος οἴνοιο
ἀσκὸν ἐνίπλειον κελέβειόν θ' ὅττι φέριστον
οἷσιν ἐνὶ μεγάροις κεῖται μέλιτος πεπληθός.

20.

Πᾶσιν δ' ἡγεμόνεσσιν ἐποιχόμενοι κήρυκες
χρύσεα καλὰ κύπελλα τετυγμένα νωμήσαντο.

Athen. XI p. 468 A: Ἀντίμαχος δ' ὁ Κολοφώνιος ἐν πέμπτῳ Θηβαΐδος φησί „πάντα — προχόῳ" (fr. 16). καὶ πάλιν „ἄλλοι — κείαται" (fr. 15). κἂν τοῖς ἑξῆς δέ φησι „καὶ χρύσεια — εἴη" (fr. 17). — P. 475 D: Ἀντίμαχος ὁ Κολοφώνιος ἐν πέμπτῳ Θηβαΐδος φησί „κήρυκας — πεπληθός" (fr. 19). καὶ πάλιν „ἀτὰρ — ἦεν" (fr. 18). ἀλλαχοῦ δέ φησι „καὶ χρύσεια — εἴη" (fr. 17). σαφῶς γὰρ νῦν κελέβειον ἀντὶ ἀγγείου τινὸς τέθεικε, προειπὼν ποτήρια δέπαστρα. — P. 482 F: Ἀντίμαχος δ' ἐν πέμπτῳ Θηβαΐδος „πᾶσιν — νωμήσαντο" (fr. 20).

„In quinto Thebaidis libro convivium, quod Adrastus heroibus contra Thebas profecturis apparavit, descriptum esse facile ex ipsis fragmentorum verbis concluditur.

---

Fragm. XIX. 1. θ' ἅμα τοῖσι] ἀθανάτοισι libri. θ' ἅμα τοῖσι Stoll Animadv. et Jacobs in Diar. Antiq. VIII (a. 1841) p. 763; δὲ ταγοῖσι (aliam coniecturam a Jacobsio prolatam) tuetur Koechly coni. ep. I p. 15. δ' ἄρα τοῖσι Dobree. — μέλανός τ' οἴνοιο Jacobs l. l.

Athen. XI. princ. [p. 459] παρὰ μὲν τῷ Ἀδράστῳ ...... καθίσαντες οἱ ἀριστεῖς δειπνοῦσιν". Stoll.

21.

*Πλῆσαι δ' ἄρ' ἐπιστέψαντα δεπαστρόν.*

Etym. M. v. θαύμακτρον (p. 443, 56): ὡς καὶ παρὰ Ἀντιμάχῳ παρὰ[1]) τὸ δεπάζω, δέπαστρον· οἷον „πλῆσεν δ' ἄρ' ἐπιστράψας δέπαστρον". οὐχ ὑγιῶς ἐχρήσατο τῷ σημαινομένῳ· ἐθήκαμεν γὰρ ἐπὶ τοῦ ποτηρίου τὴν λέξιν, τὸ δεπαζόμενον· αὐτὸς δὲ ἀντὶ τοῦ δεπάζοντος, ὡς εἰ πινόμενον εἰρήκει ἀντὶ τοῦ πίνοντος.

22.

*Αὐτίκα δ' ἠθείοισιν ἀναπτύσσων φάτο μῦθον.*

Etym. Gud. v. ἠθεῖος [p. 238, 17]: σημαίνει δὲ προσφώνησιν[2]) νεωτέρου πρὸς παλαιότερον. καὶ τινὲς μὲν λέγουσιν, ὅτι πρὸς ἀδελφὸν μόνον λέγεται ...... οὐ καλῶς δὲ λέγουσι. εὑρίσκεται γὰρ καὶ μὴ πρὸς ἀδελφὸν λεγόμενον, ὥσπερ ὁ Εὔμαιος ...... περὶ τοῦ Ὀδυσσέως· „ἀλλά μιν ἠθεῖον καλέω καὶ νόσφιν ἐόντα".[3]) ἰστέον δὲ ὅτι ὁ Ἀντίμαχος ἐχρήσατο ταύτῃ τῇ λέξει, μὴ ποιήσας τινὰ λέγοντα αὐτήν, ἀλλ' αὐτὸς

---

Fragm. XXI. πλῆσεν δ' ἄρ' ἐπιστράψας δέπαστρον libri. [ἐπιστρέψας cod. Par. 2654.] — πλῆσεν — ἐπιστέψας τὸ δ. Jacobs, πλῆσεν — ἐπιστέψασα δ. Blomf. Spohn, πλῆρες δ' ἄρ' ἐπεστέψαντο δεπ. Stoll in Animadv. p. 10, πλῆσαι — ἐπιστέψαντα δεπαστρόν Koechly, qui Coni. ep. I p. 15: „Grammaticus ille haud dubie putavit a verbo quodam δεπάζω, quod non tam nostro „bechern" responderet, quam de distribuendis poculis diceretur, novum procusum esse ab Antimacho substantivum δεπαστρός, quod haud absimile analogiae substantivorum δαιτρός, ἰατρός, μαστρός pocillatorem significaret."

1) παρὰ inseruit Koechly. 2) Sic Stoll; φρόνησιν vulgo. 3) Od. ξ 147.

ἐξ ἑαυτοῦ λεγόμενος ἐχρήσατο, λέγων „αὐτίκα — μῦθον“. σημαίνει δὲ ἐνταῦθα τοῖς οἰκείοις φίλοις, ταῦτα δὴ λέγων περὶ τοῦ Ἀδράστου[1]).

23.

Ἐν δέ νυ τοῖσι μάλα πρόφρων ἐπίκουρος ἀμορβέων
ὡμίλησ', εἵως διεπέρσατε Δύμιον ἄστυ.

Steph. Byz. v. Δύμη· Ἀντίμαχος ἐν ε' Θηβαΐδος „ἐν δέ — ἄστυ“.

24.

Τὼ δ' ἐπαπειλήτην, ὥσπερ Καυκωνίδα Δύμην
ἐπραθέτην παίδεσσιν Ἐπειῶν ἀρχεύοντες.

Tzetz. ad Lycophr. 591: Καὶ Ἀντίμαχος ἐν Θηβαΐδι· „ὡς ἐπαπ. — ἀρχεύοντες“. Ad Antimachi verba spectant Strab. VIII p. 387. Steph. Byz. v. Δύμη. „Verba ad eandem rem, quae memoratur in fr. antecedenti, spectantia de Molionibus, Euryto et Cteato, dicta videntur.“ Stoll.

25.

Ἄδρηστος Ταλαὼ υἱὸς Κρηθηϊάδαο
πρώτιστος Δαναῶν εὐαινέτω ἤλασεν ἵππω,

1) δὴ — περὶ τοῦ Ἀδράστου] δὲ — παρὰ τὸν ἄνδρα σου vulgo; corr. Schneidewin exercitt. critt. p. 28.

Fragm. XXIII. 1. Legebatur ἐν δὲ σὺ τοῖσι; emend. Meineke. — ἀμορβέων Meineke pro ἀμορβῶν. Eidem ὡμίλησ', εἵως (pro vulgato ὡμιλησαεως) debetur. ὡμίλησας, ἕως Jacobs. ὡμίλησας, ὅπως Stoll.

Fragm. XXIV. τὼ δ'] Sic Koechly coni. ep. I p. 16; ὡς Tzetz., ὡς Stoll, ὥδ' vel ὣ δ' Dübn.

Fragm. XXV. 1. Ταλαῶ' e Choerobosco (Bekk. Anecd. Gr. p. 1223 [p. 413 Gaisf.]) reponi iubent Siebelis et Bergk in Diar. Antiq. IV (1837) p. 456; cf. Stoll. p. 54. — 2. εὐαινέτω] Legebatur περ ἐπαινετῶ. — εὐαινέτω Hermann ap. Stoll. l. l.;

*Καιρόν τε κραιπνὸν καὶ Ἀρείονα Θελπουσαῖον,*
*τόν ῥά τ' Ἀπόλλωνος σχεδὸν ἄλσεος Ὀγκαίοιο*
*αὐτὴ γαῖ' ἀνέδωκε, σέβας θνητοῖσιν ἰδέσθαι.*

Paus. VIII, 25, 9 (5): *Ἀντίμαχος δὲ (τὸν Ἀρείονα) παῖδα εἶναι γῆς φησίν· „Ἄδρηστος — ἰδέσθαι“.*

26.

*Ὅς ῥά ποτ' Ἀδρήστῳ τριτάτῳ δέδμηθ' ὑπ' ἄνακτι.*

Ibid. § 10 (5): *λέγεται δὲ καὶ τοιάδε, Ἡρακλέα πολεμοῦντα Ἠλείοις αἰτῆσαι παρ' Ὄγκου τὸν ἵππον καὶ ἑλεῖν τὴν Ἦλιν ἐπὶ τῷ Ἀρείονι ὀχούμενον ἐς τὰς μάχας, δοθῆναι δὲ ὑπὸ Ἡρακλέους ὕστερον Ἀδράστῳ τὸν ἵππον. ἐπὶ τούτῳ δὲ ἐς τὸν Ἀρείονα ἐποίησεν Ἀντίμαχος· „ὅς ῥα — ἄνακτι“.*

27.

*Πατρί τε κυανοχαῖτα Ποσειδάωνι πεποιθώς.*

Choerobosc. in Bekk. Anecd. Gr. p. 1187 [p. 124 Gaisf.]: *Ἔστι γὰρ τῷ κυανοχαίτου* (sic), *καὶ γίνεται κατὰ μεταπλασμὸν τῷ κυανοχαίτα, καὶ οὐκ ἔχει προσγεγραμμένον τὸ ι, οἷον ὡς παρὰ Ἀντιμάχῳ „πατρί τε — πεποιθώς“.*

28.

*Δήμητρος τόθι φασὶν Ἐρινύος εἶναι ἕδεθλον.*

Paus. VIII, 25, 4 (3): *Μετὰ δὲ Θέλπουσαν ἐπὶ τὸ*

---

*ἑῷ αἰνετῷ* La [variant codd. rell.] Buttm. Bekk. Dind., cf. Bergk. in Bullet. dell' Instit. arch. 1848 p. 140. *νέῳ αἰνετῷ* Siebelis, *πόδας αἰνετῷ* Duentz. Stoll. — 3. *Ἀρείονα*] Cf. Eustath. ad Il. p. 1304, 63 sq. Rom. 1419 Bas.

Fragm. XXVI. *τότ'* Stoll.

Fragm. XXVII. *κυανοχαίτα Ποσειδάονι* cod.; corr. Stoll.

Fragm. XXVIII. *τόδε — Ἐριννύος* Schol. ad Anth.

ἱερὸν τῆς Δήμητρος ὁ Λάδων κάτεισι τὸ ἐν Ὀγκείῳ· καλοῦσι δὲ Ἐρινὺν οἱ Θελπούσιοι τὴν θεόν, ὁμολογεῖ δέ σφισι καὶ Ἀντίμαχος ἐπιστρατείαν Ἀργείων ποιήσας ἐς Θήβας· καί οἱ τὸ ἔπος ἔχει, „Δήμητρος — ἔδεθλον“. Ex Pausania hausit Schol. ad Anthol. Gr. I, 48 p. 90 (ed. Francof. 1600), quem citavit Stoll. Cf. Meinek. in Philol. I p. 647.

29.

Ἐγγύθι δὲ προχοαὶ ποταμοῦ Λάδωνος ἔασιν.

Theodosius (?) περὶ κλίσεως τῶν εἰς ων βαρυτόνων ap. Dind. ad Schol. Aristoph. III p. 418 ed. Lips.: τὸ Λάδων ὑπὸ Ἀντιμάχου διὰ τοῦ ω[1]) κλίνεται· „ἐγγύθι — ἔασιν“. Cf. Choerobosc. p. 75 Gaisf. [= Bekk. Anecd. Gr. p. 1394]: τὸ Λάδων (ἔστι δὲ ὄνομα ποταμοῦ) ὑπὸ Ἀντιμάχου διὰ τοῦ ω̄ κέκλιται ἀναλόγως, οἷον Λάδωνος.

30.

Schol. ad Stat. Theb. III, 466: Gemini vates, qui sunt Melampus et Amphiaraus: Dicunt poetam ista omnia ex Graeco poeta Antimacho deduxisse, qui et ipse (lon)gam Thebaidem scripsit et veteribus in magno pretio habitam.

31.

Schol. ad Pind. Ol. VI, 21: Κατεπόθη δὲ Ἀμφιάραος, οἱ μὲν περὶ Ὠρωπόν, οἱ δὲ περὶ Κλεωνάς· τοὺς

---

Fragm. XXIX. Λάδωνος pro Λάδονος scripsit Dind., ἔασιν pro ἦσαν Meineke del. epigr. p. 128. cf. Stoll. in Philol. IV p. 171. — ἴασιν Stoll in ed. — πρ. Λάδωνος ἔσαν ποταμοῖο Bergk in Diar. Antiq. VIII (a. 1841) p. 88.

1) ω Dind. pro ο.

δὲ ἵππους αὐτοῦ φησιν Ἀντίμαχος εἶναι ἀσυστάτους[1]), οἱ δὲ Θεσσαλούς, ὀνόματα δὲ αὐτῶν Θόας καὶ Δίας. ὁ δὲ ἡνίοχος αὐτοῦ Βάτων ἐκαλεῖτο ἢ Σχοίνικος, συγκαταποθεὶς αὐτῷ.

32.

Ἀμφιγένεια.

Steph. Byz. v. Ἀμφιγένεια· πόλις Μεσσηνιακή. Στράβων ὀγδόῃ[2]). ἔστι δὲ κατὰ μὲν Ἀπολλόδωρον τῆς Μακιστίας, κατὰ δὲ Ἀντίμαχον τῆς Μεσσηνίας. Fragmentum hoc ad Thebaidem referendum esse colligitur e Stat. Theb. IV, 178 sq.: Huic (Capaneo) parere dati, quos fertilis Amphigenia | Planaque Messene montanaque nutrit Ithome etc. — Statii locum citavit Schellenberg.

33.

Schol. vet. ad Aesch. Sept. 164 Dind.: Ὀγκαία Ἀθηνᾶ τιμᾶται παρὰ Θηβαίοις, Ὄγκα δὲ παρὰ τοῖς Φοίνιξι· καὶ Ὀγκαῖαι πύλαι· μέμνηται καὶ Ἀντίμαχος. Unde hauserunt Scholl. recc. ad loc. p. 320 Dind.

34.

Schol. ad Eur. Phoen. 150: Παρθενοπαῖος, ὡς μὲν Ἀντίμαχός φησι Ταλαοῦ τοῦ Βίαντος τοῦ Ἀμυθάονος τοῦ Κρηθέως τοῦ Αἰόλου τοῦ Ἕλληνος τοῦ Διός, μητρὸς δὲ Λυσιμάχης τῆς Κερκυόνος τοῦ Ποσειδῶνος· ὡς δὲ Ἑλλάνικος κτλ. Cf. Dind. ad Schol. ad v. 126.

---

1) Ἀμυκλαίους Stoll, conferri iubens Stat. Theb. IV, 214 sqq. VI. 326 (Amyclaeas — habenas v. 329); Ἀσβωτίους Unger Parad. Theb. I p. 475, Antimachum pro Euphorione nominatum ratus. 2) p. 349.

Schol. vet. ad Aesch. Sept. 547 Dind.: *Ἀντίμαχός φησιν Ἀργεῖον αὐτόν* (sc. *Παρθενοπαῖον*), *οὐκ Ἀρκάδα.*

35.

*Λέχρις δὲ δρεπάνῳ τέμνων ἄπο μήδεα πατρὸς*
*Οὐρανοῦ Ἀκμονίδεω λάσιος Κρόνος ἄγχι τέτυκτο.*

Plut. moral. p. 275 A: *Γέγραφεν Ἀντίμαχος Ἡσιόδῳ*[1]) *πειθόμενος „λέχρις — τέτυκτο".*

36.

*Φλοίουσαν ὀπώραις.*

Plut. moral. p. 683 E: *Εἰπόντος οὖν ἐμοῦ ταῦτα, γραμματικοί τινες ἔφασαν ὑπέρφλοια λελέχθαι τὰ μῆλα διὰ τὴν ἀκμήν· τὸ γὰρ ἄγαν ἀκμάζειν καὶ τεθηλέναι φλοίειν ὑπὸ τῶν ποιητῶν λέγεσθαι· καὶ τὸν Ἀντίμαχον οὕτω πως „φλοίουσαν ὀπώραις" εἰρηκέναι τὴν τῶν Καδμείων πόλιν.* Cf. p. 735 D: *τὸ γὰρ θέρος αὐτοῖς μαρτυρεῖ καὶ τὸ μετόπωρον, ὅτε μάλιστα χλωρὰν καὶ φλύουσαν, ὡς Ἀντίμαχος ἔφη, τὴν ὀπώραν γεννωμένην κτλ.*

37.

*Ὣς ῥα τότ' Ἀργείων κολῴει στρατός.*

Eustath. ad Il. p. 205, 8 sqq. Rom. 155 Bas. *Σημειω-*

---

Fragm. XXXV. 1. *λέχρις — ἀπὸ* codd. — 2. *ἀντιτέτυκτο* codd. Plut.; cf. Koechly Coni. ep. I p. 17: „Probabilius est ex clipei vel vestis descriptione haec petita [cf. Stoll p. 64, Kinkel Euripides et ars graeca p. 38], a poeta autem solemne illud *ἄγχι τέτυκτο* scriptum fuisse".

1) Theog. v. 160 sqq.

Fragm. XXXVI. *φλύουσαν* Valck. ad Eur. Phoen. 832.

Fragm. XXXVII. *ἐκολῴει* Eust. — *κολῴει* Buttm. Lexil. I p. 160. *ὥς ῥα τότ' . . . . . . . στρατὸς Ἀργείων ἐκολῴει* Blomf., *ὥς ῥα τότε στρατὸς Ἀργ. ἐκολῴει* Spohn de extr. Odyss. parte p. 209.

σαι δὲ ὅτι Ὁμήρου δευτέρας συζυγίας εἰδότος τὸ κολῳῶ, καθὰ δηλοῖ τὸ ἐκολῴα ὅμοιον ὂν τῷ ἐβόα, φασὶν οἱ παλαιοὶ καὶ πρώτης αὐτὸ εἶναι παρ' Ἀντιμάχῳ εἰπόντι „ὥς ῥα — στρατός".

38.

Ἀργειώνη.

Steph. Byz. v. Ἄργος. Ἀργείωνες λέγονται ὡς Καδμείωνες, καὶ Ἀργειώνη, ὡς Ἀντίμαχος.

39.

Ἔδρακε νῶε μολοῦσα.

Apollon. de pronom. p. 373 B: διὰ τοῦ ε̄ ἡ νῶε παρὰ Ἀντιμάχῳ ενθηβεσιν[1]) „ἔδρακε — μολοῦσα".

40.

Steph. Byz. v. Αἶα. Ἔστιν Αἶα καὶ Μακεδονίας πηγή, ὡς Ἀντίμαχος ἐν Θηβαΐδι. Cf. Scholl. minn. ad Hom. Il. *B*, 850. Strab. VII p. 330 (fragm. 21, 23). Eustath. ad Il. p. 360, 11 sqq. Rom. 272 Bas. Etym. M. p. 27, 25.

41.

Βόας ὀστρίμου ἐξήλασσεν.

Phot. Lex. v. ὄστριμα p. 258 Herm. (354 Pors.): περίβολοι κτηνῶν καὶ οἷον ἐπαύλεις· Ἀντίμαχος Θηβαΐδι· „βοῦς — ἐξήλασσεν".

42.

Γηγενέας τε θεοὺς προτερηγενέας Τιτῆνας.

---

1) L. ἐν Θηβαΐδι.

Fragm. XLI. βοῦς — ἐξήλασεν vulgo; corr. Stoll. — οστρίμου ἐξέλασεν βοῦς Duentz. Suppl. p. 40.

Fragm. XLII. Legebatur προτερηγενέας τε Τιτ.; τε deleverunt Schneidew. Duebn. Stoll.

Schol. ad Arat. 15 (Arat. ed. Buhle Vol. II p. 440 sq.): *Οὐ λέγει καὶ μέγα. χαῖρε αὐτὸς καὶ προτέρη γενεή. ὦ Ζεῦ σὺ καὶ ἡ σὴ γενεά· ἤτοι οἱ Τιτᾶνες. ἴσως καὶ παρὰ Ἀντιμάχῳ· „Γηγενέας — Τιτῆνας“.*

43.

*Ἔστι δέ τις Νέμεσις, μεγάλη θεός, ἣ τάδε πάντα*
*πρὸς μακάρων ἔλαχεν· βωμὸν δέ οἱ εἵσατο πρῶτος*
*Ἄδρηστος ποταμοῖο παρὰ ῥόον Αἰσήποιο,*
*ἔνθα τετίμηταί τε καὶ Ἀδρήστεια καλεῖται.*

Strab. XIII p. 588: *Ἐνταῦθα μὲν οὖν (ἐν Ἀδραστείας πεδίῳ) οὐδὲν ἱερὸν Ἀδραστείας δείκνυται, οὐδὲ δὴ Νεμέσεως, περὶ δὲ Κύζικον ἔστιν Ἀδραστείας ἱερόν. Ἀντίμαχος δ' οὕτω φησίν· „ἔστι — καλεῖται“.* Eosdem versus afferunt Harpocrat. v. *Ἀδράστειαν.* Apostol. I, 40 (31 Leutsch). Eustath. ad Il. p. 355, 24 sqq. Rom. 269 Bas. Arsen. I, 47 p. 18 Walz.; vv. 1—3 (*Αἰσήποιο* omisso) Suid. v. *Ἀδράστεια* [I, 1 p. 110 Bernh.], Gramm. in Bekk. Anecd. p. 342 [= Bachm. Anecd. I p. 28]. Cf. Zenob. I, 30.

44.

*Ἡφαίστου φλογὶ εἴκελον, ἥν ῥα τιτύσκει*
*δαίμων ἀκροτάτης ὄρεος κορυφῇσι Μοσύχλου.*

Schol. ad Nic. Ther. 472 p. 83 Schneider. *Μόσυχλος δὲ ὄρος τῆς Λήμνου, ὡς Ἀντίμαχος· „Ἡφαίστου — Μοσύχλου“.* Cf. Bergk. Poett. lyrr. Grr. p. 486 (612 sq.)

---

Fragm. XLIII. 2. *εἴσατο* Apost. Eust. — 3. *ῥόῳ* Gramm. apud Bekk. cum duobus codd. Harpocrat.

Fragm. XLIV. 1. *φλογὶ*] *πυρὶ* Schol.; corr. Duebn.

45.

Οὐδέ τι .........

θερμὸν ἀναπνείων χολάδας δέρτροισι καλύψεις.

Schol. Harl. Ambr. ad Hom. Od. λ, 579: Τὸ δέρτρον Ἀντίμαχος μὲν ὁ Κολοφώνιος τὸν ἐπίπλουν ἀκούει τὸν ἐν τοῖς καλουμένοις ἐγκάτοις. λέγει γὰρ „οὐδέ τι θερμὸν — καλύψεις". Cf. Eustath. ad loc. p. 1700, 9 sq. Rom. 456 Bas.

46.

Δεῖμός τ' ἠδὲ Φόβος, πόδας αἰνετώ, υἷε Θυέλλης.

Schol. Ven. A ad Hom. Il. Δ, 439 ὦρσε δὲ τοὺς μὲν Ἄρης] αἱ διπλαῖ, ὅτι διὰ μέσου τῶν Τρωικῶν θεῶν τέταχε τὴν Ἀθηνᾶν, καὶ ὅτι Δεῖμος καὶ Φόβος Ἄρεως υἱοί. πλανηθεὶς δὲ Ἀντίμαχος ἵππων Ἄρεως ὀνόματα ἀποδέδωκεν „Δεῖμος — Θυέλλης".

47—49.

Ἴδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων ἦν ἀνδρῶν.

---

Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Διομήδης.

---

Λαῶν, οἷσιν ἄνασσον, ἐκαρτύναντο φάλαγγας.

Porphyr. ap. Euseb. Praep. Evang. X, 3 p. 467 A—C: Ο δ' Ἀντίμαχος τὰ Ὁμήρου κλέπτων παραδιορθοῖ. Ὁμήρου γὰρ εἰπόντος „Ἴδεώ θ' ὃς κάρτιστος ἐπιχθο-

---

Fragm. XLV. οὐδέ τι αἷμα | θερμὸν ἀναπνεῖον Herm., οὐδέ τι θυμὸν | θερμὸν ἀναπνείων Stoll. ὃς δ' ἔτι .... | θερμὸν ἀναπν. Koechly Coni. ep. I p. 16. οὐδ' ἔτ' ἀναπν. κτλ. Bergk. — δέρτροισι Eustath., δέντροισι Harl., δέρτροις Ambr. — καλύψεις Harl. Stoll; καλύψοις Ambr., καλύψας Eust.

νίων γένετ' ἀνδρῶν"[1]), Ἀντίμαχος λέγει „Ἴδεώ ϑ' — ἀνδρῶν" (fr. 47). Καὶ Λυκόφρων ἐπαινεῖ τὴν μετάϑεσιν, ὡς δι' αὐτῆς ἐστηριγμένου τοῦ στίχου. τὸ γὰρ „τὸν δ' ἀπαμειβόμενος — Διομήδης" (fr. 48) σιγῶ, Ὁμήρου κωμῳδηϑέντος ὑπὸ Κρατίνου διὰ τὸ πλεονάσαι ἐν τῷ „τὸν δ' ἀπαμειβόμενος". ὅπερ οὕτω πεπατημένον οὐκ ὤκνησεν Ἀντίμαχος μεταϑεῖναι. τοῦ δὲ „λαῶν, οἷσιν ἄνασσε, πατὴρ δ' ὣς ἤπιος ἦεν"[2]), Ὁμηρικοῦ ὄντος· καὶ πάλιν ἀλλαχοῦ που λεγομένου, „οἳ δ' ἐπεὶ ἀμφοτέρωϑεν ἐκαρτύναντο φάλαγγας"[3]), ὁ Ἀντίμαχος μεταϑεὶς ἡμιστίχια πεποίηκε, „λαῶν — φάλαγγας" (fr. 49)[4]).

50.

Ἴδαντος κούρη.

Etym. M. p. 465, 10[5]): Τὰ εἰς δας δισύλλαβα, εἰ μὲν περιττοσυλλάβως κλίνονται, διφϑόγγῳ παραλήγεται, οἷον Φείδας, Φείδαντος· Οἴδας, Οἴδαντος· εἰ δὲ ἰσοσυλλάβως, ἐνὶ φωνήεντι, οἷον Λήδας, Λήδου· Μίδας, Μίδου· τὸ γὰρ διὰ τοῦ ντ κλινόμενον, Μείδας Μείδαντος, διὰ διφϑόγγου. οὕτως οὖν καὶ Ἴδας Ἴδου· ὅϑεν καὶ Ἀντίμαχος ἥμαρτεν εἰπὼν διὰ τοῦ ῑ, „Ἴδαντος κούρη". Eustath. ad Od. p. 1390 [32 sqq. Rom. 19 Bas.] laudavit Stoll.

51.

Οἳ δὲ πάροιϑε πόνοιο νενεύκασιν ἄλλος ἐπ' ἄλλῳ.

---

1) Il. Ι 558. 2) Od. β, 234. 3) Il. Π, 563. 4) „Versus conflatus dicitur ex Od. II, 234. et Il. XVI, 563; qua ratione si versiculos divellere studeres, nullus fere poeta a furto vacuus esset" Stoll. 5) Cf. Choerobosc. p. 34 Gaisf.

Draco Straton. p. 33: *Γεγράφασι μακροπαραληκτεῖ. τὰ γὰρ εἰς σι λήγοντα ῥήματα τὴν πρὸ τέλους ἔχει φύσει μακράν, ἑστήκασι, βεβασιλεύκασι κτλ. οἱ μέντοι ποιηταὶ πολλάκις ἐπὶ τούτων συστολὰς ποιοῦνται, ὡς ...... παρ' Ἀντιμάχῳ· „οἳ δὲ — ἄλλῳ"*. Idem versus legitur in Cram. Anecd. Oxon. III p. 296. IV p. 415. [Choerobosc. p. 566 Gaisf.]

52.

*Τῷ δ' αὖτ' ἀμφὶ κονισάλεον πεπονήατο δίφρον.*

Herodian. *περὶ μον. λέξ.* p. 4 [II p. 909 Lentz.] *Καὶ παρὰ Ἀντιμάχῳ κονισάλεος „τῷ δ' — δίφρον"*.

53.

*Ληχμὸν δ' ἐμπάζεσθαι ἀλεείνων.*

Etym. M. v. *ἐρεχμός* [p. 371, 21]· *διωχμόν γὰρ λέγουσι (οἱ Αἰολεῖς) διὰ τοῦ χ, καὶ ληχμόν, ὡς Ἀντίμαχος, „ληχμὸν — ἀλεείνων"*. Cf. Hesych.: *ληχμόν, λῆξιν.*

54.

*Λαχμὸν δ' οὐ δείδιεν ἵππων.*

Etym. M. v. *λαχμῷ* [p. 558, 24]· *τῷ δασεῖ τῶν ἐρίων· παρὰ τὸ λίαν ἔχεσθαι. Ἀντίμαχος δὲ τῶν ἵππων τὸν λακτισμόν· οἷον, „λαχμὸν — ἵππων"* [1]). Zonar. p. 1283.

55.

Etym. Gud. v. *Κυθέρεια* [p. 352, 8]: *καὶ τὸν παρ'*

---

Fragm. LII. Legebatur *τῷ*; corr. Welcker Cycl. ep. I p. 104.

Fragm. LIII. *ληχμῶν ἐμπ.* Spohn de extr. Od. parte p. 208.

1) In Etymolog. codd. pergitur: *Σέλευκος δὲ ἀξιοῖ διὰ τοῦ*

Ἀντιμάχῳ. τινὲς κυθώνυμον Οἰδιποῦν, οὐχ ὡς ἡ κοινὴ ἔννοια, οὗ ἔδει ἀποκεκρύφθαι τὸ ὄνομα, διὰ τὰ κακά, ἀλλ' οὗ[1]) κέχυται τὸ ὄνομα ἀκούουσι· Κυθογένης μὲν γὰρ ὁ Διόνυσος, ἐπεὶ μυστηριώδης ἡ γένεσις αὐτοῦ. Cf. Hesych. v. κυθνωνύμου. Zenob. IV, 72. „Apud poetam ipsum κυθώνυμος simpliciter is dictus videtur, cuius verum nomen atque origo in obscuro essent". Schneidew. exercitt. critt. p. 28. — κυθωνύμου Οἰδιπόδαο poetam scripsisse putat Stoll p. 75.

56.

Πωρητὺν ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος
θέντο.

Suid. v. ταλαίπωρος[2]) [II, 2 p. 1024 Bernh.]. ὁ ἄθλιος· παρὰ τὸ τλῆναι καὶ τὸν πῶρον, ὅ ἐστι πάθος. ὅτι δὲ πῶρος πάθος τί ἐστιν Ἀντίμαχός φησι· „πῶρον τίν' ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἔθεντο". καὶ πωρεῖν Ἠλεῖοι τὸ πενθεῖν φασι. καὶ Ἀντίμαχος αὖθις· „πωρητὸν ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος". παρὰ τοῦτο οὖν τὸ ταλαίπωρος ἐτυμολογεῖται.

Notam hanc e duobus Scholiis (altero ad Aristoph. [Plut. 33], altero ad Soph. [Oed. Col. 14[3]]) consarcinatam esse Küster ostendit. Cf. Schol. ad Eur. Orest. 392.

---

ν γράφεσθαι λάχνῳ ὃ σημαίνει λάχνην. Haec ad Od. ι 445 spectare constat.

1) οὗ Schneidew. l. l. pro οὐ.

Fragm. LVI. 1. πωρητὺν scribendum esse vidit Sopingius. πώρητυν Schol. Par. ad Eur. (πώρη Marc.); πωρήτοιν Schol. Laur. ad Soph. [πῶρος τοί γ' ed. Rom.]; πῶρός τοι Schol. ad Ar. — 2. θέντο servavit Suid. v. ταλαίπωρος; ignorant ceteri.

2) Quae ex hac observatione petita sub v. πῶρος [II, 2 p. 392] leguntur, delenda sunt. Cf. Bernhardy. 3) Cf. Schol. Triclinii ad loc. ap. Elmsl. p. 42 not. g.

Hesych. v. πωρητύς· ταλαιπωρία, πένθος. Quibus omnibus inter se collatis locum refinxerunt Dind. (ad Schol. Aristoph.) et Stoll.

## ΔΕΛΤΟΙ[1]).

57.

*Ἐλθὼν Εὐλεῖος πηγὰς ἔπι δινήεντος.*

Athen. VII p. 300 D. (Anguillae bonae sunt) καὶ περὶ τὸν Εὐλέα δὲ ποταμόν, οὗ μνημονεύει Ἀντίμαχος ἐν ταῖς ἐπιγραφομέναις Δέλτοις οὕτως „ἐλθὼν — δινήεντος".

## INCERTAE SEDIS FRAGMENTA.

58.

*Τοὶ δ' ἄρα οἱ ἀβολήτορες ἄνδρες ἔασιν.*

Etym. M. v. ἀβολήτωρ [p. 4, 6]: βολῶ καὶ ἀντιβολῶ· παρ' ὃ τὸ ἀβολήτωρ, ὁ μὴ παρακαλῶν. Ἀντίμαχος Ἰαχίνῃ[2])· „τοὶ δ' — ἔασιν". οὕτως Φίλων εἰς τὰ ῥηματικὰ αὐτοῦ.

---

1) Δέλτοι. „Elegiaca Antimachi carmina an praeter Lyden fuerint, non constat; sed fortasse liber Δέλτοι inscriptus elegiaco numero adstrictus fuit". Bergk in Poett. lyrr. Grr. p. 487 (614).

Fragm. LVII. Legebatur Εὐλείας; corr. Bergk. Cf. Meineke in Anall. critt. ad Athen. p. 132. — Choerobosc. in Bekk. Anecd. Gr. p. 1194.

Fragm. LVIII. ἄρα Stoll pro ἄρ'. Duebner (ad vit. Statii) Etymologi locum sic refingit: Ἰναχίδαι, τοὶ δ' ἄρ' ἀβολ. κτλ.

2) Ἰαχίνῃ corruptum, Καταχήνῃ Bergk [Diar. Antiq. a. 1835 p. 300 sqq.] coll. Spartiani Vit. Hadr. c. 16. Hanc coniecturam postea deseruit vir clarissimus, cf. Poett. lyrr. Grr. p. 487 (614).

59.

Ῥίμφα δ' ἐπ' ἠπείροιο μελαίνης ὑψόσ' ἀερθεὶς
Πηλείδης ἀπόρουσεν ἐλαφρῶς ἠύτε κίρκος·
τοῦ δ' ἔμπροσθε ποδῶν κρήνη γένετ' ἀενάουσα.

Schol. vet. ad Lycophr. 246 p. 12 ed. Bachm. [Rostoch 1848] εἰς θῖν' ἐρείσας λοισθίαν] τελευταῖος γὰρ τῆς νεὼς ὁ Ἀχιλλεὺς ἀπέβη διὰ τὸν χρησμόν· ὅθεν ὁ Πρωτεσίλαος πρῶτος τῆς νεὼς πηδήσας ἀπέθανε. κρηναῖον δέ· φασὶ γὰρ ὅτι πηδήσαντος τοῦ Ἀχιλλέως ἐκ τῆς νεὼς πηγὴ ἀνεδόθη, ὥς φησι καὶ Ἀντίμαχος· „ῥίμφα — ἀενάουσα". Cf. Tzetz. ad loc.

60.

Schol. Vict. ad Hom. Il. Ψ, 142: Καὶ Ἀντίμαχός φησι τῷ Κηφισσῷ κατὰ τὴν Λίλαιαν (Peleum) τεθυκέναι τὴν κόμην (Achillis).

61.

Πάντες δ' ἐν χείρεσσι καλαύροπας οὐατοέσσας
εἶλον.

Schol. Ven. B ad Hom. Il. Ψ, 845: Παρὰ τὸ ῥέπω δὲ γίνεται ῥέψω ῥέψ ῥόψ καλαῦροψ. καὶ Ἀντίμαχος „πάντες — ἕλον".

62.

Τοῖσιν δ' ὑλήεντα διὰ πλόον ἐρχομένοισι.

Lucian. Ver. Hist. II, 42: Καὶ τὸ Ἀντιμάχου τοῦ ποιη-

---

Fragm. LIX. 1. ἐπ'] ἀπ' nostri omnes [Cod. Vat. ap. Bachm., cod. Marc. 476 ab editore inspectus, Tzetz.]; corr. Schellenberg. — 2. ἀπόρουσεν Tz.; ἀνόρουσεν Scholl. vett. — ἐλαφρῶς Bergk pro ἐλαφρός. ἐλαφρότερ' Herm.

Fragm. LXI. 2. εἶλον Stoll pro ἕλον. In edit. p. 100 εἵλουν legendum censet; εἶχον Bergk.

τοῦ ἔπος ἐπεισῆλθε. φησὶ γάρ που κἀκεῖνος· „τοῖσιν — ἐρχομένοισι“. Cf. Schol. ad Nicand. Ther. 295 p. 69 Schneid.: βαιὸν δὲ πλόον νῦν τὴν ὁδὸν τὴν πεζήν, τὴν πορείαν. καὶ Ἀντίμαχος εἶπε· „τοῖσι δ' ἂν ὑλ. — ἐρχομένοισιν“.

63.

Δήμητρός τοι Ἐλευσινίης ἱερὴ ὄψ.

Strab. VIII p. 364 de formis decurtatis disserens: (Ἡσίοδος) τὸ βριθὺ καὶ βριαρὸν βρῖ λέγει (fragm. 245)· ......... παρ' Ἐμπεδοκλεῖ δὲ „μία γίνεται ἀμφοτέρων ὄψ“ ἡ ὄψις· καὶ παρ' Ἀντιμάχῳ „Δήμητρος — ὄψ“. καὶ τὸ ἄλφιτον ἄλφι (fr. 64).

64.

Ἐν δ' ἀδόροισι χέειν εὐήλατον ἄλφι.

Etym. M. v. ἀδόροις (p. 18, 39). Ἀντίμαχος. „ἐν δ' — ἄλφι“. δόρυ γὰρ λέγεται παρὰ τὸ ἐκδεδάρθαι δόρος· καὶ δόροι, κατὰ πλεονασμὸν ἄδοροι. ἢ ἀντὶ τοῦ κακόδοροι. οὕτως Ἡρωδιανός. λέγονται δὲ καὶ κώρυκοι, θύλακοι, ἀσκοί· οἷον οὐ δεδαρμένοι. Cf. Hesych. v. ἄδοροι.

65.

Ὡς εἴτε κλόνιος τεθορυίης σφονδυλίων ἕξ.

Pollux II § 178: Τὴν δὲ ῥάχιν ἔνιοι τῶν ποιητῶν ὠνόμασαν κλόνιν, ὥσπερ Ἀντίμαχος „ὡς εἴτε — ἕξ“.

---

Fragm. LXIV. εὐίλατον vulgo; sed εὐ(η)ίλατον cod. Voss.

Fragm. LXV. τε θουρίης codd. τε θοραίης Kühn. τεθορυίης Canter. τεθαλυίης Stoll, conferri iubens Hom. Il. *I*, 208. Od. λ, 415. ν, 410.

66.

*Τό ῥά οἱ ἀγχιλεχὲς κρέματο περὶ πάσσαλον αἰεί.*
Gramm. ap. Cram. Anecd. Oxon. I p. 158: εἶδος εὐειδής· βάθος ἀγχιβαθής· λέχος ἀγχιλεχής· Ἀντίμαχος· „τό ῥα — αἰεί“.

67.

*Πολλὰ δὲ μῆλα, τάπερ ...... ἀφνήμονας ἄνδρας.*
Etym. M. v. ἄφενος (p. 178, 10): παρὰ τὸ ἄφενος γίνεται ἄφνος κατὰ συγκοπήν. .......... ἐκ τούτου γίνεται ῥῆμα, ἀφνῶ· καὶ ἐξ αὐτοῦ, ἀφνήμων. Ἀντίμαχος „πολλὰ — ἄνδρας“.

68.

*Κισσοῦ τε κλυμένοιο καὶ ἀμπελίνης .......*
Hesych. v. κλύμενος· λέγεται δὲ καὶ κισσός, ὡς Ἀντίμαχος· „κισσοῦ — ἀμπελίνης“.

69.

*Κοίας ἐκ χειρῶν σκόπελον μέτα ῥιπτάζουσι.*
Etym. M. v. Τροία (p. 770, 9 sqq.) de voce κοία. σημαίνει τὴν σφαῖραν· ἡ χρῆσις παρὰ Ἀντιμάχῳ· „κοίας — μεταριπτάζουσι“. Eadem habent Etym. Gud. p. 535, 50. Gramm. in Cram. Anecd. Oxon. I p. 401· II p. 329.

---

Fragm. LXVI. ἀγχ. περὶ π. ἐκρέματ' αἰεί Koechly Coni. ep. I p. 17.
Fragm. LXVII. τάπερ ποιεῖ ἀφ. Stoll, τάπερ ἀφν. ἄνδρας ἔθηκεν Bergk.
Fragm. LXVIII. κισσοῦται κλ. καὶ ἀμπελίνης πετάλοισι | φυλλάδος Bergk ap. Stoll.
Fragm. LXIX. χειρῶν εἰς σκόπ. μεταριπτάζουσι nostri omnes; corr. Spohn.

70.

Diod. III, 65: *Τῶν δὲ ποιητῶν τινες, ὧν ἐστι καὶ Ἀντίμαχος, ἀποφαίνονται τὸν Λυκοῦργον οὐ Θρᾴκης ἀλλὰ τῆς Ἀραβίας γεγονέναι βασιλέα, καὶ τῷ τε Διονύσῳ καὶ ταῖς βάκχαις τὴν ἐπίθεσιν ἐν τῇ κατὰ τὴν Ἀραβίαν Νύσῃ πεποιῆσθαι.*

71.

*Ἄϊδος ἐκπρολιποῦσα θοὸν δόμον.*

Cram. Anecd. Oxon. I p. 201: *νυκτὸς ἀμολγῷ. οὐχ ὡς ἔνιοι κατ' ἐκεῖνο τῆς ὥρας ᾗ ἀμέλγεται τὰ θρέμματα, ἀλλ' ἀπὸ τοῦ μολῶ, ἀμολῶ, καὶ ἀμολγῶ, ὡς ἀπὸ τοῦ θῶ οὖν γέγονε τίθημι· τὸ δὲ τιθέμενον ἀσφαλές· καὶ παρὰ τῷ Ἀντιμάχῳ „Ἄϊδος — δόμον".*

72.

*Ἀμορφύνειν ἐθέλωσιν.*

Ibid. p. 55: *„ἀμορφύνειν ἐθέλωσιν" ὁ Ἀντίμαχος, ἀντὶ τοῦ ἀμορφοποιεῖν.*

73.

*Ἀφνειέστατος ἔσκεν.*

Eustath. ad Hom. Od. *β*, 190 p. 1441, 10 Rom. 89 Bas. *Τὸ δὲ ἀνιηρέστερον ὤφειλε μὲν εἶναι ἀνιηρότερον, μέτρου δὲ χάριν οὕτω λαλεῖται. ὡς καὶ τὸ αἰδοιέστερον. καὶ λοιπὰ τοιαῦτα .......... Ἀντίμαχος δέ, ὅτι „ἀφνειέστατος ἔσκεν".*

74.

*Ἐπεί ῥά οἱ ἤδυμος ἐλθών.*

---

Fragm. LXXI. *Ἄϊδος — δοὸν δομὸν* Gramm. ap. Cram. Fort. *ἐκπρολιποῦσ' ἀλαὸν δόμον.* Hanc coniecturam benigne mecum communicavit Koechly.

Schol. Ven. Vict. ad Hom. Il. *B*, 2: Ὅτι τὸ νήδυμος μετὰ τοῦ ν̄, καὶ οὐχὶ ἥδυμος, ὥς ἔνιοι, παρὰ τὸ ἡδύς, ὡς δῆλον ἐκ τοῦ „νήδυμος ἀμφιχυθείς“[1]). Οἱ δὲ μεθ' Ὅμηρον καὶ χωρὶς τοῦ ν̄ λέγουσι· καὶ Ἀντίμαχος „ἐπεί ῥα — ἐλθών“. Cf. Eustath. ad loc. p. 163, 28 Rom. 123 Bas.

75.

*Εὐνεικέα δ' ἦσαν .......*

Schol. Ven. B Mosq. Vict. ad Hom. Il. *Ω*, 23: Καὶ τὸ νείκεσεν ἄκυρον ἐπὶ δικαστοῦ· ἐπὶ γὰρ τῶν δικαζομένων αὐτὸ τίθησιν (Ὅμηρος)[2]) .......... οἱ δὲ νεώτεροι ἐπὶ τοῦ τὸ νεῖκος διαλύειν, ὡς Ἀντίμαχος „εὐνεικέα δ' ἔσαν λόγια“. (Schol. Vict.: „μετὰ δὲ εὐνείκες κρίνον“. Schol. Mosq.: εὐνείκεστα δ' ἦσαν τὰ λόγια) ἀντὶ τοῦ εὐδιάκριτα.

76.

*Οἰκτρὰ κάτω νεύεσκε κάρηαρ.*

Choerobosc. in Bekk. Anecd. p. 1386: κάρηαρ· κάρηας μὲν γὰρ οὐχ οἷόν τέ ἐστι παραλαμβάνειν τὴν εὐθεῖαν, ἐχρῆν δὲ παραλαμβάνειν παρὰ Ἀντιμάχῳ εὐθεῖαν,

---

1) Il. *Ξ*, 253. — 2) Il. *Σ*, 498. Od. *μ*, 440.

Fragm. LXXV. *ἔσαν* Schol. Ven. B, *ἦσαν* Mosq. Stoll, qui p. 100: „Scribendum videtur *εὐνεικέα δ' ἦσαν* — (*λόγια*); perspicuitatis causa ex antecedentibus vel sequentibus Antimachi verbis *λόγια* a Scholiasta additum est. Schneider in Lexic. *εὐνείκητα δ' ἔσαν λ.* — Schol. Vict. *μετὰ δὲ εὐνείκες κρίνον*, in quibus *εὐνεικὲς κρίνον* Antimachi esse puto.“

Fragm. LXXVI. *οἰκέτην θέσκε καρήαρ* Gramm. ap. Cram. p. 65. *ἢ οἰκέτην θέσκε κάρη* Etym. Flor., *ἢ οἰκέτης θέσκε κάρη* Gramm. ap. Cram. p. 53. — *οἴκτιστον θέσκε κάρηαρ* Duentz., *οἰκτρόν τε τίθεσκε κ.* Stoll, *οἰκτρὰ κάτω νεύεσκε κάρηαρ* (coll. Tryphiod. 15) Koechly coni. ep. I p. 16.

οἷον „οἰκέτην θέσκε κάρηαρ“, ἀλλ' οὐχὶ κάρηας. Fragmentum hoc legitur etiam in Etym. Florent. ap. Miller. Mélanges p. 177 apudque Cram. Anecd. Paris. IV p. 53, 65.

77.

*Οὐδὲ σπιδόθεν προνοῆσαι.*

Schol. Ven. A ad Hom. Il. *Λ*, 754: *Καὶ γὰρ Αἰσχύλος πολλάκις τὴν λέξιν οὕτως ἔχουσαν τίθησιν, ὅταν λέγῃ „σπίδιον μῆκος ὁδοῦ“, καὶ ὁ Ἀντίμαχος „οὐδὲ σπιδόθεν προνοῆσαι“, τουτέστι μακρόθεν.* Etym. M. p. 271, 20.

78.

*Τήνου τ' ὀφιοέσσης.*

Schol. ad Aristoph. Plut. 718 *τρεῖς Τηνίων*] *ὅτι ἐν τῇ Τήνῳ μιᾷ τῶν Κυκλάδων νήσῳ ὄφεις καὶ σκορπίοι δεινοὶ ἐγίνοντο. ἢ ὅτι ἡ Τῆνος ....... θηριώδης δοκεῖ εἶναι. σκόροδα οὖν Τήνια εἶπεν ἀντὶ τοῦ δηκτικά, παρὰ τὰ θηρία. δηλοῖ καὶ Εὔπολις Πόλεσι „Τῆνος αὕτη, πολλοὺς ἔχουσα σκορπίους, ἔχεις τε συκοφάντας“. Καλλίστρατος δὲ ἐπὶ τὸ σαφὲς κατηνέχθη, ὡς σκοροδοφόρου τῆς γῆς οὔσης. διὸ καὶ τὸ παρ' Ἀντιμάχῳ „Τήνου τ' ὀφιοέσσης“ οὐ καλῶς ἔχειν δοκεῖ.*

79.

*Φὴ δὲ γέρων οἷσιν.*

Schol. Ven. A ad Hom. Il. *Ξ*, 499: *Ὁ ποιητὴς οὐδέ-*

---

Fragm. LXXIX. *δὲ* om. Schol. — *φή ῥα γέρων οἷσιν* Buttm. Lexil. I p. 238, *φὴ δὲ γέρων εἷσιν* Bergk, *φὴ γεράνοισιν* Bekker. *φὴ γέρον οἷσον* („i. e. *ὡς σαπρὸν σπάρτον*“) Schneid. ad Callim. II p. 669.

ποτε (!) οἶδε τὸ φή ἀντὶ τοῦ ὡς, οἱ δὲ μετ' αὐτόν, ὥσπερ Ἀντίμαχος καὶ οἱ περὶ Καλλίμαχον. Ad v. 500: οὐδέποτε δὲ Ὅμηρος τὸ φή ἀντὶ τοῦ ὡς τέταχεν. ἴσως δὲ καὶ Ἀντίμαχος ἐντεῦθεν ἐπλανήθη „φὴ γέρων οἷσιν" εἰπών.

80.

ἀκαχύνω. — [ἀκαχυνέμεν.]

Cram. Anecd. Oxon. I p. 55: „ἀκαχύνω" ὁ αὐτός (Antimachus)· ἔνθεν ἀπαρέμφατον ἀκαχυνέμεν.

81.

ἀνατυπῶσαι.

Suid. v. [I, 1 p. 379 Bernh.] et Zonar. p. 207. ἀνατυπῶσαι. ἀντὶ τοῦ ἀνατρέψαι. Ἀντίμαχος. Cf. Stoll. in Philol. IV p. 171.

82.

ἄργειτε.

Cram. Anecd. Oxon. I p. 71: Τὸ δὲ ἄγρει Δωρικῶς ἄγει λέγεται· καί ἐστιν ὡς προστακτικὸν ἐπίρρημα, καὶ τὸ πληθυντικὸν ἄγρειτε φασί. καὶ ὁ ποιητής· „ἄγρειθ', αἱ μὲν δῶμα κορήσατε"[1]· ὁ δέ γε Ἀντίμαχος ἄργειτε ἔφη ὑπερβιβάσας τὸ ρ̄.

83.

Γαιηίδα Φοίβην.

Hesych.: Γαιηίδα· τὴν Φοίβην. Ἀντίμαχος. Cf. Hesiod. Th. 136.

---

1) Od. υ, 149.

84.

ἑανηφόρος.

Hesych.: ἑανηφόρος· ἡ ἠώς. παρὰ Ἀντιμάχῳ.

85.

ἑΐν.

Apollon. Dyscol. de pronom. p. 366 B. ἔστι καὶ ἡ εἵν ἀπὸ τῆς τεΐν παρὰ Ἀντιμάχῳ καὶ Κορίννῃ, ἐπὶ δοτικῆς[1]) ἔσθ' ὅτε παραλαμβανομένη.

86.

Εἰσκονιανοί.

Hesych.: Εἰσκονιανοί· οἱ Ἐφέσιοι. ὡς Ἀντίμαχος.

87.

ἐπίηρα.

Hesych.: ἐπίηρα· τὴν μετ' ἐπικουρίας χάριν μεγάλην, ἢ ἐκ τῆς περιουσίας· ὡς Ἀντίμαχος.

88.

ζειροφόρος.

Hesych. et Gramm. in Bekk. Anecd. p. 261: ζειροφόρος ὁ Ἀΐδης παρὰ Ἀντιμάχῳ.

89.

λίες. — λίεσσι.

Choerobosc. p. 181 Gaisf.: Ταῦτα οὖν τὰ εἰς ῑς τῶν εἰς σ̄ φύσει ληγόντων, μονοσύλλαβα ὄντα, μακρὸν ἔχουσι τὸ ῑ, καὶ προσθέσει τοῦ ο̅ς̅ κλίνονται, οἷον

1) ἐπ' αἰτιατικῆς Bekk.

Fragm. LXXXVI. Εἰσκονιανοί] Σαμονιανοί Kuest., ἔϊσκον Ἰαννοί Soping. [cf. Voss. ad Catull. p. 220], ἔϊσκον Ἰαόνιοι, Ἐφέσιοι Duebn. Vulgatam tuetur Stoll.

κὶς κιός· „ἀκιώτατοι ἱστοβοῆες[1]) ..... λὶς λιός· „ὥς τε λὶς ἠυγένειος“[2]). λίες μέντοι λίεσσι παρὰ Ἀντιμάχῳ ἐπὶ τοῦ λέοντος.

90.

μεμυζότε μυδαλέω τε.

Eustath. ad Hom. Od. p. 1746, 19 Rom. 523 Bas. μυζῶ· ἐξ οὗ τὸ μεμυζότε μ. τε παρὰ Ἀντιμάχῳ.

91.

ὀτρυντύς.

Schol. Ven. B. Vict. ad Hom. Il. *Τ*, 233: μή τις τῶν λαῶν τὴν ἐξ ἑτέρου ὀτρυντὺν ἐκδεχέσθω, ἀλλ' αὐτοκέλευστος ἐξίτω. ἔστι δὲ ἡ λέξις Ἀντιμάχειος[3])· χαίρει δὲ καὶ Ἐρατοσθένης ταῖς τοιαύταις ἐκφοραῖς, ὡς τὸ „πολλὴ ἀντιμαχηστύς“. Cf. Stoll. p. 73.

92.

Schol. Ven. B et Lips. ad Hom. Il. *Γ*, 197 πηγεσιμάλλῳ] ἐκ τοῦ πηγόν τὸ μέλαν· „κύματι πηγῷ“[4]). ἐξ ἀντικειμένου δέ φησιν ἐπ' αὐτοῦ „ὅς τ' ὀίων μέγα πῶυ διέρχεται ἀργεννάων“. ἐν λευκοῖς δὲ ὁ μέλας διαφορώτερος. καὶ τοὺς ἵππους τοὺς πηγοὺς ἀθλοφόρους λέγει[5]), παρ' ὅσον οἱ περὶ ἱππικῆς γράψαντές φασι πρὸς ἀρετὴν ἵππων ἀρίστους εἶναι τοὺς μέλανας. καὶ τὸ κῦμα δὲ ἀντιφράζων ὁτὲ μὲν κύματι πηγῷ λέγει, ὁτὲ δὲ „μέλαν τέ ἑ κῦμα κάλυψεν“[6]). καὶ Ἀντίμαχος δὲ τὸ λευκόν ὡς ἀντικείμενον τῷ πηγᾷ λαμβάνει.

---

1) Hesiod. Opp. 435. 2) Hom. Il. *P*, 109. 3) Ἀττική Schol. Ven. 4) Od. ε, 388. 5) Il. *I*, 124. 6) Il. *Ψ*, 693.

93.

πυρσολόφους.

Phot. v. p. 353 Herm. *πυρσολόφους*, τοὺς ἐκ παροπτηθεισῶν βυρσῶν ἱμάντας τεμνομένους. Ἀντίμαχος. Cf. Hesych. v. πυρσόλοφοι.

94.

σειρῆνα.

Etym. M. v. σειραίνω (p. 710, 21). σημαίνει τὸ ξηραίνω, ὥς λέγει Ὦρος ὁ Μιλήσιος· παρὰ τὸν σείριον τὸν ἀστέρα ............... ἔνιοι δὲ πάντα τὰ ἄστρα σείρια καλοῦσι, τείρια ὄντα καὶ σημεῖα τῶν πλεόντων. Ὁ δὲ Ἀντίμαχος *σείρινα* τὸν Δία ἔφη, διὰ τὸ ἄστρον. Cf. Eustath. p. 1709, 54 Rom. 471 Bas. σειρῆνες, τὰ ἄστρα. Stoll p. 90.

95.

Θέρεος σταθεροῖο.

Schol. Plat. p. 315 Bekk.: *σταθερόν* τὸ σφόδρα θερμόν, ἀπὸ τῆς ἐν τῷ θέρει μεσημβρίας. καὶ Ἀντίμαχος· „θέρεος σταθεροῖο". Suid. v. σταθερόν [II, 2 p. 881 Bernh.].

96.

σύστηνον.

Hesych. v. *σύστηνον*· ἐστενοχωρημένον. τρίχινος[1]) χιτών, ἢ ῥυπαρός. Ἀντίμαχος.

---

Fragm. XCIV. σείρινα Etym., σειρῆνα Blomf. Plura dabit Stoll p. 90.

1) τρύχινος Stoll (collato Etym. M. v. τρίχινον).

97.

τερέντερον.

Cram. Anecd. Oxon. I p. 413: Ἀντίμαχος ἀπὸ τοῦ ὁ τέρενος εἶπε κατὰ συγκοπὴν τερέντερον[1]) ἀντὶ τοῦ[2]) τερενώτερος.

98.

φόλυες κυνες.

Herodian. περὶ μον. λέξ. p. 32 [Vol. II p. 938 Lentz.]: φόλυες κύνες παρὰ τῷ Ἀντιμάχῳ. Cf. Hesych.: φόλυες κύνες· οἳ πυρροὶ ὄντες μέλανα στόματα εἶχον· οἱ δὲ φύλακας.

99.

χηρήιον οἶκον.

Hesych. v. χηρήιον οἶκον, παρὰ Ἀντιμάχῳ, τὸν ἄτεκνον.

---

100.

Paus. IX, 35, 5 (1): Ἀντίμαχος δὲ οὔτε ἀριθμὸν Χαρίτων οὔτε ὄνομα εἰπὼν Αἴγλης εἶναι θυγατέρας καὶ Ἡλίου φησὶν αὐτάς.

101. 102.

Καδδὲ Πύδην τε ῥέοντα.

---

Πύδητος κούρη τηλεκλειτοῦ ποταμοῖο.

Choerobosc. p. 139 Gaisf. Πύδης Πύδου, ὄνομα ποτα-

---

1) Sic Bergk pro τέρεντρον. 2) ἀντὶ τοῦ] ἀπὸ τούτου ed. Cramer; corr. Stoll.

Fragmm. CI. CII. Veram lect. servavit Cod. Marc. 489 (optimae notae) ap. Gaisf. in Praefat. Etym. M. p. 7. — καδδ' ἐναπύδηερέοντα liber a Bekk. usurpatus. [Anecd. Gr. p. 1416.] Cf. Koechl. ad Quint. Smyrn. XIV, 482 coll. Coni. ep. I p. 17.

μοῦ, ὡς παρὰ Ἀντιμάχῳ (fr. 101). Τοῦτο δὲ ἐναντίως ἔκλινεν ὁ Ἀντίμαχος· ὅτε μὲν γὰρ ἰαμβικόν ἐστιν, ἰσοσυλλάβως αὐτὸ κλίνει, ὡς ἐπὶ τῆς λεχθείσης χρήσεως, ὅτε δὲ σπονδειακόν ἐστιν, περιττοσυλλάβως αὐτὸ κλίνει, οἷον „Πύδητος καὶ τηλεκλ. ποτ." (fr. 102).

103.

Prob. ad Verg. Buc. X, 18 p. 25 Keil. Adonis, ut Hesiodus ait, Phoenicis et Alphesiboeae, Agenoris .....[1]) Thiantis, qui Histriam Arabiamque tenuit imperio, ut Antimachus ait. Cf. Lyd. fr. 14 Bgk.

Fragmm. 100—103 ad Elegias retulit Bergk Poett. lyrr. Graecc. p. 614 ed. III.

---

## FRAGMENTA DUBIA.

[104.]

Schol. Ven. B Vict. Lips. ad Hom. Il. *Γ*, 144: *Ἀντίμαχος δὲ τὴν Κλυμένην Ἱππάλκου θυγατέρα εἶναί φησιν.*

[105.]

Scholl. minn. ad Hom. Il. *E*, 389: *μητρυιή· ἡ τοῦ Ἑρμοῦ μητρυιά. Ἠερίβοια δὲ ἡ ἀέρια καὶ μεγάλα βοῶσα. Ἀντίμαχος δὲ ὁ Κολοφώνιος τὴν Ἠερίβοιαν μητρυιὰν Ὤτου καὶ Ἐφιάλτου παραδίδωσιν.*

Fragmm. 104. 105 ad recensionem Homericam spectare videntur. Cf. Stoll. p. 98[2]).

---

1) Lacunae signa pos. Bergk. 2) Idem valet de fr. 110 Dübn. [Stoll p. 115.] — Schol. Ven. A ad Hom. Il. *P*, 134: *Ὁ δὲ Ἀντίμαχος ἐκ τούτου (ἑστήκει ὥς τίς τε λέων περὶ οἷσι τέκεσσιν, | ᾧ ῥά τε νήπι' ἄγοντι συναντήσωνται ἐν ὕλῃ | ἄνδρες κτλ.) πλανηθεὶς ᾠήθη καὶ τὸν ἄρσενα σκυμναγωγεῖν.*

[106.]

*Οἱ δὲ τὸν αἰνοτάλαντα κατέστεφον.*

Choerob. p. 280 sq. Gaisf. [Bekk. Anecd. Gr. p. 1422]: ὅτι δὲ καὶ τοῦ τάλας τάλαντος ἦν ἡ γενική, δηλοῖ ὁ Ἱππῶναξ εἰπὼν „τί τῷ τάλαντι Βουπάλῳ συνῴκησας;" καὶ ὁ Ἀντίμαχος δὲ γινώσκει τὴν διὰ τοῦ ντ κλίσιν, ἐν οἷς φησὶν „οἱ δὲ τὸν — κατέστεψαν". In cod. Marc. 489 [Gaisf. Praef. Etym. M. p. 8] tribuitur Callimacho.

[107.]

*Αἰνοδρυφὴς δὲ τάλαινα τεοῦ κάτα τυμβοχόησα.*

Hunc versum, quem affert Apollon. Dysc. de pronom. p. 356 C., Antimachi esse ci. Valckenaer ad Theocr. p. 324 B. Cf. Stoll. p. 110.

[108.]

*ἀβολητύς.*

Etym. M. v. ἀβολητύς[1]) [p. 3, 50]· ἔντευξις, ἀπάντησις. Blomfield (in Callim. Addend. p. 400) addit Ἀντίμαχος, quod ex codice quodam sumpsisse videtur. Cf. Stoll. p. 73. Fragm. 91 (ὀτρουτύς).

[109.]

*πηῶν.*

Hesych. v. πηῶν· φίλων. συγγενῶν. Ubi Schmidt: Antimachus. Schol. ad Nic. Ther. 3 laudavit Schm.

---

Fragm. CVI. αἰνοτάλαντα κατέστεψαν cod. Marc.; λινοτάλαντα κατέστυγον cod. Bekkeri. — κατέστεφον Schneider ad Callim. II. p. 661.

1) Sic Lex. Sangerm.; ἀβολῆτις vulgo. Cf. Stoll. p. 73.

[110.]

ψαυκρόποδα.

Hesych. v. *ψαυκρόποδα·* κουφόποδα, ἄκροις τοῖς ποσὶ ψαύοντα. Antimachi esse ci. Schmidt, provocans ad Etym. M. p. 817, 46.

---

## CHOERILUS IASENSIS.

Steph. Byz. v. Ἴασος. πόλις Καρίας ἐν ὁμωνύμῳ νήσῳ κειμένη ..... ὁ πολίτης αὐτῆς Ἰασεύς, ἀφ' οὗ Χοιρίλος ἐὼν Ἰασεύς. Cf. Suid. v. Χοιρίλος [II, 2 p. 1691, 12]. Eudoc. p. 437, 8. Horat. Epist. II, 1, 232 sqq. Gratus Alexandro regi Magno fuit ille | Choerilos, incultis qui versibus et male natis | rettulit acceptos, regale nomisma, Philippos.[1]) Cf. Epist. ad Pis. 358. Curt. Ruf. VIII, 17, 8.

Porphyr. ad Hor. Epist. ad Pis. 357: Poeta pessimus[2]) fuit Choerilus [ille], qui Alexandrum secutus opera eius descripsit. Huius omnino septem versus laudabantur, et Alexander dixisse fertur, multum malle se Thersiten Homeri esse quam Choerili Achillem. Cf. Acr. ad loc. Auson. Epist. XVI p. 631 Toll.

Carmen, cuius inscriptio est *Λαμιακά* (Suid.) huic Choerilo vindicandum esse hodie constat.

Subsidia. Naeke Choer. p. 37 sqq. 196 sqq. Duebner p. 22. Baehr in Paulyi Encycl. II p. 332.

---

1) Porphyr. ad loc.: Acceperat autem pro singulis versibus singulos Philippos. Suid. v. *Χοιρίλος· ἐφ' οὗ ποιήματος κατὰ στίχον στατῆρα χρυσοῦν ἔλαβε.* Supra p. 257. 2) Cf. Porphyr. ad Epist. II, 1, 232.

Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς σὸν θυμὸν ἄεξε,
τερπόμενος θαλίῃσι· θανόντι τοι οὔτις ὄνησις.
καὶ γὰρ ἐγὼ σποδός εἰμι Νίνου μεγάλης βασιλεύσας.
κεῖν' ἔχω ὅσσ' ἔφαγον καὶ ἐφύβρισα καὶ σὺν ἔρωτι
τέρπν' ἔπαθον· τὰ δὲ πολλὰ καὶ ὄλβια πάντα λέλυνται.
ἥδε σοφὴ βιότοιο παραίνεσις, οὐδέ ποτ' αὐτῆς
λήσεαι. ἐκτήσθω δ' ὁ θέλων τὸν ἀπείρονα χρυσόν.

Athen. VIII p. 335 E: *Τί γὰρ τῶν ἐπιτρῖψαι δυναμένων παρέλιπεν ὁ καλὸς οὗτος ἐποποιὸς καὶ μόνος ζηλώσας τὸν Σαρδαναπάλλου τοῦ Ἀνακυνδαράξεω βίον, ὃν ἀδιανοητότερον εἶναι κατὰ τὴν προσηγορίαν τοῦ πατρὸς Ἀριστοτέλης ἔφη. ἐφ' οὗ τοῦ τάφου ἐπιγεγράφθαι φησὶ Χρύσιππος τάδε „εὖ — χρυσόν".* Epigramma hoc afferunt etiam Schol. ad Aristoph. Av. 1021. Eudoc. p. 372. Phavorin. v. *Σαρδανάπαλος* [p. 1635, 15 sqq.] — V. 1—6 habent Anthol. Planud.

---

Epigr. 1. *εἰδὼς*] *δεδαὼς* Schol. Ar. Eud. Phav. — *σὸν*] Sic Diod. Tzetz. Eust. Interpol. Strab. (*τὸν* codd. duo) [Iacobs. Meineke]; *ὃν* Schol. Ar. Eud. Phav.; *τὸν* reliqui. — 2. *τοι* om. Eud. Phav.; *σοι* Diod. Tzetz. Anth. Plan. — 3. *βασιλεύων* Schol. Ar. Eud. Phav. — 4. *κεῖν'*] Sic Athen.; *τόσσ'* Dio Chr. Theodor. Anth. Pal. Anth. Planud. Georg. Ham.; *ταῦτ'* reliqui. — *καὶ ἐφύβρισα*] *καὶ ἀφύβρισα* vel *κἀφύβρισα* codd. plerique Strabonis; *τε καὶ ἔπιον* Anth. Pal., cf. Eustath. ad Il. p. 766, 59. 1224, 35 Rom. — *σὺν ἔρωτι*] Sic Ath.: *μετ' ἐρώτων* Schol. Ar. Anth. Pal.; *μεθ' ἐρώτων* Eud. Phav.; *μετ' ἔρωτος* reliqui. — 5. *τερπνὰ πάθον* Steph. Byz.; *τέρπν' ἐδάην* Anth. Pal. Anth. Plan. — *πολλὰ*] *λοιπὰ* Dio Chr. — *πάντα λέλυνται*] Sic Ath.; *πάντα λέλειπται* Dio. Anth. Pal. Theodoret. Georg. Ham.; *κεῖνα λέλειπται* reliqui. — 6. *οὐδέ ποτ' αὐτῆς*] *ἀνθρώποισιν* Interpol. Strab. Gramm. Flor. Anth. Plan. Iacobs; *οὐδέ ποτ' ἐσθλή* Schol. Ar. Eud. Phav. — 7. *λήσεαι*] Sic Meineke; *λησάμεθ'* Hecker comm. de Anthol. gr. II p. 35; *λήσομαι* Athen. — *λήσ. — χρυσόν*] *κεκτήσθω δ' ὁ θ. σοφίης τὸν ἀπ. πλοῦτον* Schol Ar. Eud. Phav.

(Iacobs Anthol. Gr. Vol. II {Lips. 1814} p. 632 sq. = I (ed. 1794) p. 117 [I p. 185 Brunck]). Grammaticus in Cod. Laur. XXXII, 16 fol. 7ᵛ. Codd. quattuor Strab. XIV p. 672 in marg. (v. infra). — 1—5 Diod. II, 23[1]). Tzetz. Chil. III, 453 sqq. — 1—3 a Strabone praetermissos, libro cuidam geographi adscripsit interpolator, unde in codd. nonnullos transierunt, cf. Kram. Vol. III p. 159; 1—2 (*εὖ — θαλίῃσι*) Eust. ad Od. p. 1447, 30 Rom. 98 Bas. 3—5 (sed v. 3 post 4. 5 collocato) Clem. Alex. Strom. II p. 177 (411 D) Sylb. 491 Pott. Theodoret. graec. aff. curat. XII [Vol. IV, 2 p. 1039 Schulze]. Georg. Hamart. in Cram. Anecd. Oxon. IV p. 219. — 4—5 Strab. XIV p. 672[2]). Dio Chrys. IV p. 81 [186 Rsk.]. Anth. Pal. I (Lips. 1813) p. 399. Steph. Byz. v. *Ἀγχιάλη*; verba *ταῦτ' ἔχω — ἔπαθον* Plut. moral. p. 546 A. Polyb. VIII, 12 p. 576 Bekk., *ταῦτ' ἔχω — ἐφύβρισα* Plut. p. 330 F; eosdem versus respiciunt multi scriptores, cf. Athen. XII p. 529 F. Cic. Tusc. Quaest. V. 35, 101. De fin. II, 32, 106. Nicet. Choniat. p. 417 Bonn. Eustath. ad Il. p. 766, 59 Rom. 673 Bas. 1224, 35 Rom. 1307 Bas.

---

1) *Ἐπὶ τοσοῦτο δὲ προήχθη* (Sardanapalus) *τρυφῆς καὶ τῆς αἰσχίστης ἡδονῆς καὶ ἀκρασίας ὥστε ἐπικήδειον εἰς αὐτὸν ποιῆσαι καὶ παραγγεῖλαι τοῖς διαδόχοις τῆς ἀρχῆς μετὰ τὴν ἑαυτοῦ τελευτὴν ἐπὶ τὸν τάφον ἐπιγράψαι τὸ συγγραφὲν μὲν ὑπ' ἐκείνου βαρβαρικῶς, μεθερμηνευθὲν δὲ ὕστερον ὑπό τινος Ἕλληνος· „εὖ — λέλειπται"*. 2) Geographus postquam inscriptionem nobilissimam illam „*Σαρδανάπαλλος ὁ Ἀνακυνδαράξεω παῖς Ἀγχιάλην καὶ Ταρσὸν ἔδειμεν ἡμέρῃ μιῇ. ἔσθιε πῖνε παῖζε, ὡς τἄλλα τούτου οὐκ ἄξια*" laudavit, pergit: *μέμνηται δὲ καὶ Χοιρίλος τούτων* (?)· *καὶ δὴ καὶ περιφέρεται τὰ ἔπη ταυτί „ταῦτ' ἔχω — λέλειπται"*.

Cf. Iacobs Anthol. Gr. Vol. VI (Adnot. I, 1) p. 375 sqq. ed. mai. [III p. 915 ed. Lips. 1817.]

Epigramma celeberrimum Choerilo nostro tribuit Naeke, sed res valde incerta; cf. Bergk. Poett. lyrr. Grr. p. 526 (671 ed. III.) Kramer. ad Strab. Vol. III p. 159.

---

## ANYTE.

Paus. X, 38, 13 (7): *Τοῦ δὲ Ἀσκληπιοῦ τὸ (ἐν Ναυπάκτῳ) ἱερὸν ἐρείπια ἦν, ἐξ ἀρχῆς δὲ ᾠκοδόμησεν αὐτὸ ἀνὴρ ἰδιώτης Φαλύσιος. νοσήσαντι γάρ οἱ τοὺς ὀφθαλμοὺς καὶ οὐ πολὺ ἀποδέον τυφλῷ ὁ ἐν Ἐπιδαύρῳ πέμπει θεὸς Ἀνύτην τὴν ποιήσασαν τὰ ἔπη φέρουσαν σεσημασμένην δέλτον. τοῦτο ἐφάνη τῇ γυναικὶ ὄψις ὀνείρατος κτλ.* Steph. Byz. v. *Τεγέα· ἦν δὲ καὶ μελοποιὸς Ἀνύτη Τεγεᾶτις.* Cf. Antip. Thess. in Anth. Gr. II p. 101, ubi *θῆλυς Ὅμηρος* appellatur. Plura dabit Teuffel in Paulyi Encycl. $I^2$ p. 1213 sq.

Poetriam hanc ante Ol. CXX vixisse e Tatian. or. ad Graec. 33 § 52 p. 130 Otto. colligitur[1]).

---

1) *Τί γάρ μοι περὶ Ἀνύτης λέγειν; ..... τῆς μὲν γὰρ Εὐθυκράτης τε καὶ Κηφισόδοτός .... εἰσιν οἱ δημιουργοί.*

## ADDENDA ET CORRIGENDA.

Pag. 4, 7. L. Ἐριχθόνιος.
6, 13. Adde: Propert. II, 1, 19.
6. Ad fr. I. Cf. Philodem. περὶ εὐσεβ. p. 61 Gomp.
8. Adde: Fragm. 8. Athen. XI p. 470 B: Θεόλυτος δ' ἐν δευτέρῳ Ὥρων ἐπὶ λέβητός φησιν αὐτὸν (sc. τὸν Ἥλιον) διαπλεῦσαι, τοῦτο πρώτου εἰπόντος τοῦ τὴν Τιτανομαχίαν ποιήσαντος. — Fragm. 9. Philodem. περὶ εὐσ. p. 43 Gomp.: Τὰς Ἁρπυίας τὰ μῆ[λα φ]υλάττειν Ἀκο[υσίλ]αος, Ἐπιμενίδης δὲ καὶ τοῦτο καὶ τὰς αὐτὰς εἶναι ταῖς Ἑσπερίσιν· ὁ δὲ τὴν Τι[τα]νομαχίαν [τὰ] μὲν μῆλα φυλάτ[τειν . . . . . .
16, 20. L. ἑξῆς.
25. Cypr. Fragm. 9. Cf. Philodem. l. l. p. 7.
31. - - 22. Cf. Prov. metr. 88. Arsen. p. 366.
39. Iliad. parv. Fragm. 2. V. 4 καί κε — ἀναθείη laudat Plut. moral. p. 337 E.
58. Telegonia. Cf. Tzetz. ad Lycophr. 818 p. 809 Muell.
59. Fragm. [2]. V. Etym. Angelic. in Ritschl. Opusc. I p. 689.
60. Oechal. Excid. Cf. Cert. Hom. p. 326 Goettl. 22 Nietzsche. Τῆς δὲ πανηγύρεως λυθείσης ὁ ποιητὴς εἰς Ἴον ἔπλευσε πρὸς Κρεώφυλον κἀκεῖ χρόνον διέτριβε.
63, 19. Ἐπικιχλίδες. Athen. II p. 65 A: Ὅτι τὸ εἰς Ὅμηρον ἀναφερόμενον ἐπύλλιον, ἐπιγραφόμενον δὲ Ἐπικιχλίδες, ἔτυχε ταύτης τῆς προσηγορίας διὰ τὸ τὸν Ὅμηρον ᾄδοντα αὐτὸ τοῖς παισὶ κίχλας δῶρον λαμβάνειν, ἱστορεῖ Μέναιχμος ἐν τῷ περὶ τεχνιτῶν. Cf. XIV p. 639 A.
66. Margites. — Eustrat. ad Aristot. Eth. Nicom. VI, 7: παράγει δ' εἰς μαρτυρίαν . . . . . ποίησιν Μαργίτην ὀνομαζομένην Ὁμήρου· μνημονεύει δ' αὐτῆς οὐ μόνον αὐτὸς Ἀριστοτέλης ἐν τῷ πρώτῳ περὶ ποιημάτων, ἀλλὰ καὶ Ἀρχίλοχος[1]) καὶ Κρατῖνος καὶ Καλλίμαχος ἐν τοῖς ἐπιγράμμασιν μαρτυροῦσιν Ὁμήρου εἶναι τὸ ποίημα.
75. Incert. sed. fragm. Adde:
Τυδείδης, οὗ πατρὸς ἔχων μένος Οἰνείδαο.

---

Ἐν δ' ἄνδρες πολέμοιο δαήμονες ἐστιχόωντο
Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο.

---

1) Ἀριστοφάνης Ruhnk.; ἀλλὰ καὶ Ἀρχιλόχοις Κρατῖνος Bergk.

Cert. Hom. p. 325 Goettl. 21 Nietzsche. (Homerus) τιμηθεὶς μεγάλως παραγίνεται εἰς Ἄργος καὶ λέγει ἐκ τῆς Ἰλιάδος τὰ ἔπη τάδε· Οἳ δ' Ἄργος — Διομήδης [B 559—563] „Τυδείδης, οὗ πατρὸς ἔχων μένος Οἰνείδαο"[1]), καὶ Σθένελος — νῆες ἕποντο [v. 564—568]· „ἐν δ' ἄνδρες — κέντρα πτολέμοιο".

Pag. 77. Alcmaeonis. Adde: Fragm. 7. Philodem. περὶ εὐσ. p. 51: Κα[ὶ τῆς ἐπ]ὶ Κρόνου ζω[ῆς εὐ]δαιμονεστά[της οὔσ]ης, ὡς ἔγραψ[αν Ἡσί]οδος καὶ ὁ τὴν [Ἀλκμ]εωνίδα ποή[σας].

78. Danais. Adde: Fragm. 3. Philodem. περὶ εὐσ. p. 42 Gomp. Παρὰ δὲ τῷ ποή[σαν]τι τὴν Δανα[ΐδα] μητρὸς τῶν θ[εῶν θ]εράπον[τ]ες [Κου]ρῆτες.

98 sq. Hes. fragm. 31. Cf. Philod. περὶ εὐσ. p. 49.

122. Hes. fragm. 105. Cf. Philod. περὶ εὐσ. p. 17. — Adde Fragm. 105a. Philodem. p. 34 de Apolline: [Ἡ]σίοδος δὲ καὶ Ἀκο[υσ]ίλαος μέλλειν [μὲν] εἰς τὸν Τάρταρον [ὑ]πὸ τοῦ Διὸς ἐ[μβλη]θῆναι, τῆς Λ[ητοῦς δ'] ἱκετε(ο)υσά[σης ἀν]δρὶ θητ[εῦσαι].

126. Hes. fragm. 118. Cf. Philod. περὶ εὐσ. p. 24.

132. Hes. fragm. 136. Cf. Etym. Angel. ap. Ritschl. Opusc. I p. 689.

133. Hes. fragm. 137. Cf. Etym. Angel. ap. Ritschl. Opusc. I p. 687.

140. Hes. fragm. Adde: Fragm. 151a. Philodem. περὶ εὐσ. p. 60 Gomp., ubi de Actaeone sermo est.

152. Fragm. 177. Cf. Strab. XIV p. 668.

153. Fragm. 179. not. μοιρέων] Adde: Meineke Anal. crit. ad Athen. p. 21.

155. Fragm. 180. 181. Cf. Meineke in Herm. I p. 327. In nota legendum: Huebneri Herm. I (1866) fasc. 2 p. 327.

165. Fr. 207. v. 2. ἡβώντων] γηράντων Bergk in Zimmerm. Diariis VIII (a. 1841) p. 85.

177. Fr. 242. Cf. Etym. M. v. ἀψεγέως [p. 183, 23]· καὶ τὸ ἀπτερέως παρ' Ἡσιόδῳ, ἀπὸ τοῦ πτερέως τὸ ταχέως, ubi Anon.: „Pro παρ' Ἡσιόδῳ etiam h. l. ut supra p. 133, 34 legendum est παρ' Ἀπολλωνίῳ."

200. Naupact. Fragm. 8. φευγέμεν ἐκ] Sic Meineke in Jahni Annal. LXXXVII (a. 1863) p. 370. Legebatur φευγέμεναι.

262. Panyas. Fragm. 18. v. 3. ποτ. περιδινήεντι Koechly Coni. ep. I p. 18.

1) Cf. Il. E, 813.

## INDEX POETARUM.

Abaris 242 sq.
Antimachus Colophonius 273.
Antimachus Teius 247.
Antiphon 272.
Anyte 311.
Arctinus 3. 6—8. **33—36. 49—52.**
Aristeas 60. **243—247.**
Asius 202—205.
Augias 56.
Carcinus 198.
Cercops 82. 84. 85.
Chersias 207 sq.
Choerilus Iasensis 308—311.
Choerilus Samius 265—272.
Cinaetho 4. 8. 38. **196—198. 212.**
Conon 212.
Creophylus 60—62.
Cynaethus 196. cf. not. 3.
Demodocus 212.
Diodorus 38.
Diotimus 213.
Diphilus 217.
Epilycus 272.
Epimenides 230—237.
Eugammon 57 sq.
Eumelus 6—8. 185—195.
Hagias 52 (Hegias 55).
Hegesias 2 not. 1). 16.
Hegesinus 2. 15.
Hegesinus (Atthidis auctor) 208.
Hesiodus 78—186. 313.
Homerus 2 sqq. 10. 15. 60 sq. **63—75.** 312.
Homeridae 196 not.
Lesches 3. **36—48.**
Melanippides 272.
Musaeus 218—230.
Niceratus 272.
Onomacritus 222. 238—241.
Panyassis 253—265.
Phaedimus 214.
Pigres 65.
Pisander Camirensis 248—253.
Pisinus 214.
Stasinus 2. **15** sqq.
Telesis 4.
Thestorides 38. 63.

His adde: Archilochum (Theocr. epigr. 19, 5), Clonam (Plut. moral. p. 1132 C), Erinnam, Polymnastum (Paus. I, 14, 4 [3], Terpandrum (Plut. l. l.)

---

## INDEX CARMINUM.

*Αἰγίμιος* 79. **82—85.**
*Αἰθιοπίς* 32.
*Ἀκέσεις νόσων* 220. **224.**
*Ἀλκμαιωνίς* 76 sq. 313.
*Ἀμαζονία* 2.
*Ἀμφιαράου ἐξέλασις* 2. **59.**
*Ἀραχνομαχία* 2.
*Ἀργοναυτικά* 232 sq.
*Ἀριμάσπεια* 244—247.
*Ἆισμα προσόδιον* 186. 193 sq.
*Ἀστρονομία* (*ἀστρικὴ βίβλος*) 79. **86—90.**
*Ἀτθίς* 208.
*Ἀτρειδῶν κάθοδος* 56.

*Βατραχομαχία* 2.
*Βουγονία* 187.
*Γάμος Ἕβρου* 242.
*Γενεαλογίαι* 196. **203—205.**
*Γερανομαχία* 2.
[*Γιγαντομαχία* 8.]
*Γυναικῶν ἡρωινῶν κατάλογος* 78.
*Δάκτυλοι Ἰδαῖοι* 79. **150** sq.
*Δαναΐς* 4. **78.** 313.
*Ἐπίγονοι* 13.
*Ἐπιθαλάμια* 2.
*Ἐπιθαλάμιον εἰς Πηλέα καὶ Θέτιν* 79.
*Ἐπικήδειος εἰς Βάτραχον* 78.
*Ἐπικιχλίδες* 2.
*Ἑπτάπεκτος αἴξ* 2.
*Ἔργα μεγάλα* 79. 157—161.
*Εὐμολπία* 220. 223.
*Εὐρωπία* 186. 192 sq.
*Ἠοῖαι* 90—93. 135—146. 313.
*Ἡράκλεια* 196. **212—215. 249—265.**
[*Ἡρωογονία* 79.]
*Θεογονία* 5. 220. **225—228. 235—237.**
*Θεσπρωτίς* 218.
*περὶ Θεσπρωτῶν* 58. 220.
*Θηβαΐς* 4. **9** sqq.
[*Θησέως ἐς Ἅιδην κατάβασις* 79.]
*Θησηίς* 217 sq.
*Ἰλιάς* 2 sq. 33.
*Ἰλιὰς μικρά* 2 sq. **36—48.**
*Ἰλίου πέρσις* 3.
*Καθαρμοί* 221. 232. 242.
*Κατάλογος Γυναικῶν* 80. **90—135.** 313.
*Κεραμίς* 2.
*Κέρκωπες* 2. 69 sq.
*Κήυκος γάμος* 79. 146—148.
*Κορινθιακά* 186—192.
*Κουρήτων καὶ Κορυβάντων γένεσις* 232.
*Κρατήρ* 221.
*Κύκλος* 1 sqq.
*Κύπρια* 2. 15—32.
*Λαμιακά* 308.
*Λευκιππίδων κατάλογος* 92.
*Μαργίτης* 64—69.
*Μεγάλαι Ἠοῖαι* 79. 93. **140—146.**
*Μελαμποδία* 79. **151—157.**
*Μινυάς* 215—217.
*περὶ Μίνω καὶ Ῥαδαμάνθυος* 232.
[*Μυοβατραχομαχία* 2.]
*Μυομαχία* 2.
*Ναυπάκτια* 198.
*Νόστοι* 2. **52—56.**
*Νόστος τῶν Ἑλλήνων* 187.
*Ὀδύσσεια* 2 sq. 57.
*Οἰδιπόδεια* 4. **8** sq.
*Οἰχαλίας ἅλωσις* 2. **60—62.**
*Ὀρνιθομαντεία* 161.
*Ὀρφεύς* 239 sqq.
*Παλαμήδεια* 32.
*Παραλύσεις* 221.
*Περσηίς* (*Περσικά*) 266—272.
*Σφαῖρα* 221.
*Τελεταί* 221.
*Τελχινιακὴ ἱστορία* 232 sq.
*Τηλεγονία* 57. [196.]
[*Τιτανογραφία* 221. 228 sq.]
*Τιτανομαχία* 5—8. 312. 186. 228 sq.
*Ὕμνοι* 2. 221.
*Ὕμνος ἐς Δήμητρα* 223.
*Φορωνίς* 209—212.
*Φωκαΐς* 63.
*Χείρωνος ὑποθῆκαι* 79. **148—150.**
*Χρησμοί* 221. 224 sq. 232. **233—235.**
*Χρησμοὶ Σκυθικοί* 242.
*Ψαρομαχία* 63.

## Conspectus Fragmentorum.

### Titanomachia.

| K. | Welck. | Duentz. |
|---|---|---|
| 1 | 2 | 4 |
| 2 | 1 | 5 |
| 3 | 3 | 6 |
| 4 | 4 | 1 |
| 5 | p. 557 | 3 |
| 6 | 5 | 2 |
| 7 | 6 | 7 |
| 8 (p. 312) | — | — |
| 9 (p. 312) | — | — |

### Cypria.

| K. | Welck. | Duentz. |
|---|---|---|
| 1 | 1 | 1 |
| 2 | 2 | 19 |
| 3. 4 | 3 | 2. 3 |
| 5 | 5 | 4 |
| 6 | 7 | 5 |
| 7 | 6 | 6 |
| 8 | 8 | 7 |
| 9 | 9 | 8 |
| 10 | 10 | 9 |
| 11 | 11 | 10 |
| 12 | 12 | 11 |
| 13 | 14 | 13 |
| 14 | 15 | 14 |
| 15 | 16 | 15 |
| 16 | 18 | — |
| 17 | 20 | 18 |
| 18 | 21 | 17 |
| 19 | 4 | 20 |
| 20 | 22 | 21 |
| 21 | 23 | 22 |
| 22 | p. 528 | 23 |
| [23] | 19 | 16 |
| [24] | 17 | p. 16 |
| [25] | — | — |

### Ilias parva.

| K. | Welck. | Duentz. |
|---|---|---|
| 1 | 1 | 1 |
| 2 | 2 | 2 |
| 3 | 3 | 13 |
| 4 | 4 | 4 |
| 5 | 5 | 3 |
| 6 | 6 | 12 |
| 7 | 7 | 5 |
| 8 | 8 | p. 108 |
| 9 | 9 | 11 |
| 10 | 10 | 14 |
| 11 | 11 | 6 |
| 12 | 12 | 9 |
| 13 | 13 | — |
| 14 | 14 | — |
| 15 | 15 | 10 |
| 16 | 16 | p. 108 |
| 17 | 17 | 9 |
| 18 | 18 | 7 |
| 19 | 20 | 8 |
| [1] | 21 | p. 27 |
| p. 73 | 22 | p. 28 |

### Nosti.

| K. | Welck. |
|---|---|
| 1 | 1 |
| 2 | 2 |
| 3 | 4 |
| 4 | 5 |
| 5 | 6 |
| 6 | 8 |
| 7 | 7 |
| 8 | 10 |
| 9 | 3 |
| 10 | 9 |

## HESIODUS.

| K. | Marcksch. | Goettl. (ed. II.) |
|---|---|---|
| 1 | 171 | 1 |
| 2 | 172 | 2 |
| 3 | 173 | 3 |
| 4 | 174. 175 | 5 |
| 5 | 176 | 4 |
| 6 | 177 | 122 |
| 7 | 170 | 6 |
| 8 | 178 | 7 |
| 9—11 | 179. 180 | 10 |
| 12. 17 | 181 | 13 |
| 13 | 182 | 137 |
| 14 | 183 | 12. 84 |
| 15 | 185 | 67 |
| 16 | 184 | 164 |
| 18 | 1 | 27 |
| 19 | 2 | 30 |
| 20 | 3 | 31 |
| 21 | 4 | 142 |
| 22 | 5 | 29 |
| 23 | 6 | 36 |
| 24 | 7 | 33 |
| 25 | 8 | 32 |
| 26 | 9 | 34 |
| 27 | 10 | 89 |
| 28 | 11 | 108 |
| 29 | 12 | 204 |
| 30 | 13. 14 | 99 |
| 31 | 16 | 44 |
| 32. 33 | 17 | 45 |
| 34 | 19 | 138 |
| 35 | 20 | 72 |
| 36 | 21 | 110 |
| 37 | 22 | 115 |
| 38 | 24 | 111 |
| 39 | 25 | 101 |
| 40 | 26 | 100 |
| 41 | 27 | 127 |
| 42 | 28 | 129 |
| 43 | 29 (30) | 46 |
| 44 | 32 | 143 |

| K. | Marcksch. | Goettl. |
|---|---|---|
| 45 | 33 | 144 |
| 46 | 34 | 146 |
| 47 | 35 | 97 |
| 48 | — | — |
| 49 | 36 | 38 |
| 50 | 37 | 41 |
| 51 | 38 | 42 |
| 52 | 39 | 209 |
| 53 | 60 | 87 |
| 54 | 40 | 69 |
| 55 | 41 | 58 |
| 56 | 42 | 226 |
| 57 | 43 | 151 |
| 58 | 44 | 69 |
| 59 | 45 | 152 |
| 60 | 46 | 153 |
| 61 | 48 | 202 |
| 62 | 49 | 201 |
| 63 | 50 | 203 |
| 64 | 51 | — |
| 65 | 52 | 147 |
| 66 | 53 | 193 |
| 67 | 54 | 135 |
| 68 | 55 | 136 |
| 69 | 56 | 141 |
| 70 | 57 | 134 |
| 71 | 58 | 59 |
| 72 | 70 | 60 |
| 73 | 71 | 63 |
| 74 | 59 | — |
| 75 | 61 } | 62. 88 |
| 76 | 62 } | |
| 77 | 65 | — |
| 78 | 67 } | 211 |
| 79 | 68 } | |
| 80 | 69 | 215 |
| 81 | 72 | 64 |
| 82 | 73. 74 | 61. 65 |
| 83 | 77 | 85 |
| 84 | 78 | 86 |
| 85 | 79 | 194 |

| K. | Marcksch. | Goettl. | K. | Marcksch. | Goettl. |
|---|---|---|---|---|---|
| 86 | 80 } | 195 | 128 | 127 | 52 |
| 87 | 81 } | | 129 | 128 | 128 |
| 88 | 82 | 197 | 130 | 129 | 70 |
| 89 | 83 | 228 | 131 | 130 | 96 |
| 90 | 84 | 148 | 132 | 131 | 9 |
| 91 | 86 | 102 | 133 | 132 | 155 |
| 92 | 88 | 149 | 134 | 133 | 140 |
| 93 | 89 | 126 | 135 | 134 | 225 |
| 94 | 90 | 216 | 136 | 135 | 35 |
| 95 | 91 | 150 | 137 | 136 | 77 |
| 96 | 92 | 93 | 138 | 137 | 221 |
| 97 | 93 | 223 | 139 | 138 | 104 |
| 98 | 94 | 71 | 140 | 139 | 57 |
| 99 | 95 | 73 | 141 | 140 | 156 |
| 100 | 96 | 74 | 142 | 141 | 76 |
| 101 | 97 | 75 | 143 | 142 | 125 |
| 102 | 98 | 130 | 144 | 143 | 81 |
| 103 | 99 | 48. Spic. 6 | 145 | 144 | 98 |
| 104 | 100 | 162 | 146 | 145 | 79 |
| 105 | 101 | 49 | 147 | 146 | 78 |
| 105a [p. 313] | — | — | 148 | 147 | 83 |
| 106 | 102 | 47 | 149 | 148 | 82 |
| 107 | 103 | 109 | 150 | 149 | 80 |
| 108 | 104 | 50 | 151 | 150 | 94 |
| 109 | 105 | 8. 242 | 151a [p. 313] | — | — |
| 110 | 106 | 53 | 152 } | 151 | 95 |
| 111 | 107 | 51 | 153 } | | |
| 112 | (108 + 15) | Praefat. p. LX. | 154 | 152 | 157 |
| | | | 155 | 153 | 118 |
| 113 | 109 | 54 | 156 | 154 | 119 |
| 114 | 110 | 55 | 157 | 155 | 120 |
| 115 | 111 | 158 | 158 | 156 | 121 |
| 116 | 112 | 105 | 159 | 157 | 116 |
| 117 | 113 | 131 | 160 | 158 | 90 |
| 118 | 114 | 39 | 161 | 159 | 117 |
| 119 | 115 | 40 | 162 | 160 | 88 |
| 120 | 116 | 208 | 163 | 161 | 91 |
| 121 | 117 | 229 | 164 | 162 | 92 |
| 122 | 119 | 28. 160 | 165 | 163 | 123 |
| 123 | 122 | 112 | 166 | 164 | 66 |
| 124 | 120 | 106 | 167 | 165 | 37 |
| 125 | 123 | 113. 124 | 168 | 166 | 165 |
| 126 | 124 | 161 | 169 | 167 | 166 |
| 127 | 125 | 154 | 170 | 169 | 168 |

| K. | Marcksch. | Goettl. | K. | Marcksch. | Goettl. |
|---|---|---|---|---|---|
| 171 | 168 | 167 | 215 | 223 | 222 |
| 172 | 206 | 178 | 216 | 242 | 237 |
| 173 | 207 | 184 | 217 | 235 | 247 |
| 174 | 208 | 183 | 218 | 87 | 26 |
| 175 | 243 | 14 | 219 | 237 | 213 |
| 176 | 244 | 15 | 220 | 236 | 234 |
| 177 | 187 | 169 | 221 | 63 | 189 |
| 178 | 188 | 172 | 222 | 64 | 190 |
| 179 | 189 | 173 Spic. 7 | 223 | 75 | 198 |
| 180 | 190 | 170 | 224 | 76 | 191 |
| 181 | 191 | 171 | 225 | 224 | 192 |
| 182 } | 192 | 174 | 226 | 231 | 200 |
| 183 } | | | 227 | 241 | 236 |
| 184 | 193 | 43 | 228 | 225 | 248 |
| 185 | 194 | 175 | 229 | 226 | 249 |
| 186 | 195 | 176 | 230 | 85 | 212 |
| 187 | 196 | 177 | 231 | — | — |
| 188 | 197 | 16 | 232 | — | — |
| 189 | 198 | 17 | 233 | 221 | 227 |
| 190 | 200 } | 18 | 234 | 209 | 186 |
| 191 | 201 } | | 235 | 210 | 179 |
| 192 | 202 | 19 Spic. 10 | 236 | 211 | 180 |
| 193 | 203 | 20 | 237 | 212 | 217 |
| 194 | 204 | 21 | 238 | 213 | 185 |
| 195 | 205 | 25 | 239 | 239 | 205 |
| 196 | — | 23 | 240 | — | Spic. 2 |
| 197 | — | Spic. 5 | 241 | 240 | 235 |
| 198 | 251 | 188 | 242 | 245 | 238 |
| 199 | 214 | 132 | 243 | — | Spic. 11 |
| 200 | 215 | 133 | 244 | 238 | 218 |
| 201 | 220 | 139 | 245 | 229 | 244 |
| 202 | 217 | 219 | 246 | 256 | 243 |
| 203 | 227 | 230 | 247 | 118 | 159 |
| 204 | 218 | 187 | 248 | 249 | 241 |
| 205 | 216 | 210 | 249 | 232 | 233 |
| 206 | — | Spic. 8 | 250 | 233 | 245 |
| 207 | 222 | 163 | 251 | 234 | 246 |
| 208 | — | — | 252 | 47 | — |
| 209 | 184 | 164 | 253 | 248 | — |
| 210 | 186 | 68 | 254 | 255 | — |
| 211 | 121 | 107 | 255 | 247 | 240 |
| 212 | 31 | 145 | 256 | — | 182 |
| 213 | 252 | 207 | 257 | 275 | 56 |
| 214 | 18 | 103 | 258 | — | 231 |

| K. | Marcksch. | Goettl. |
|---|---|---|
| 259 | 250 | — |
| 260 | 219 | 224 |
| 261 | — | — |
| 262 | — | Spic. 3 |
| 263 | — | Spic. 4 |
| 264 | 230 | — |

Eumelus.

| K. | Marcksch. |
|---|---|
| 1 | 4 |
| 2 | 2 |
| 3 | 3 |
| 4 | 4 |
| 5 | 5 |
| 6 | 6 |
| 7 | 18 |
| 8 | 7 |
| 9 | 8 |
| 10 | 9 |
| 11 | 10 |
| 12 | 11 |
| 13 | 12 |
| 14 | 13 |
| 15 | 14 |
| 16 | 15 |
| 17 | 16 |
| 18 | 17 |

Musaeus.

| K. | Passow. | Duentz. |
|---|---|---|
| 1 | 21 | — |
| 2 | 22 | — |
| 3 | 3—6 | — |
| 4 | 2 | — |
| 5 | 1 | — |
| 6 | — | — |
| 7 | 9—11 | 1 |
| 8 | — | — |
| 9 | 7. 8 | 2 |
| 10 | 12 | 3 |
| 11 | 13 | 4 |
| 12 | 14. 15 | 7 |
| 13 | — | — |
| 14 | 16 | 8 |
| 15 | 17 | 9 |
| 16 | 18 | 5 |
| 17 | 20 | p. 72 |
| 18 | 19 | p. 72 |
| 19 | 26 | 6 |
| 20 | 25 | — |
| 21 | 28 | 10 |
| 22 | 27 | 11 |
| 23 | 29 | 11 |
| 24. 25 | 30. 31 | 11 |

Epimenides.

| K. | Duentz. |
|---|---|
| 1 | 4 |
| 2 | 3 |
| 3 | p. 70 |
| 4 | 14 |
| 5 | p. 70 |
| 6 | — |
| 7 | — |
| 8 | 7 |
| 9 | 1 |
| 10 | 2 |
| 11 | 10 |
| 12 | 6 |
| 13 | 12 |
| 14 | — |
| 15 | — |
| 16 | — |
| 17 | 5 |
| 18 | 3 |

Panyasis.

| K. | Duebn. | Duentz. |
|---|---|---|
| 1. 2 | 1 | 1 |
| 3 | 2 | 7 |
| 4 | 3 | 3 |
| 5 | 7 | 4 |

| K. | Duebn. | Duentz. | K. | Duebn. | Duentz. |
|---|---|---|---|---|---|
| 6 | 10 | | 17 | 16 | 9 |
| 7 | 8 | 2 | 18 | 17 | 11 |
| 8 | 9 | | 19 | 18 | 14 |
| 9 | 12 | 13 | 20. 21 | 19 | Addend. p. 36 |
| 10 | 11 | 8 | 22 | 13 | 10 |
| 11 | 20 | 5 | 23 | 21 | p. 95 |
| 12 | 4 | 17 | 24 | 22 | |
| 13 | 6 | 16 | 25 | 23 | 14 |
| 14 | 5 | 18 | 26 | 24 | |
| 15 | 14 | 6 | | | |
| 16 | 15 | 12 | | | |

## CHOERILUS SAMIUS.

| K. | Naeke. | Duebn. | K. | Naeke. | Duebn. |
|---|---|---|---|---|---|
| 1 | 1 | 1 | 7 | 7 | 7 |
| 1a | 2 | — | 8 | — | 12 |
| 2 | — | 2 | 9 | 8 | 8 |
| 3 | 3 | 3 | 10 | 9 | 9 |
| 4 | 4 | 4 | 11. 12 | 11. 12 | 11 |
| 5 | 5 | 5 | 13 | 10 | 10 |
| 6 | 6 | 6 | 14 | Addend. | 13 |

## ANTIMACHUS.

| K. | Stoll. | Duebn. | K. | Stoll. | Duebn. |
|---|---|---|---|---|---|
| 1 | 1 | 1 | 17 | 18 | 11 |
| 2 | 2 | 2 | 18 | 20 | 12 |
| 3. 4 | 3 | 3 | 19 | 19 | 9 |
| 5 | 4 | 4 | 20 | 21 | 14 |
| 6 | 5 | 5 | 21 | 22 | 15 |
| 7 | 6 | | 22 | 23 | — |
| 8 | 8 | 6 | 23 | 24 | 17 |
| 9 | 9 | 7 | 24 | 25 | 16 |
| 10 | 12 | 30 | 25 | 26 | 20 |
| 11 | 10 | 7 | 26 | 27 | 21 |
| 12 | 7 | 18 | 27 | 28 | 73 |
| 13 | 12 | 30 | 28 | 29 | 22 |
| 14 | 14 | 8 | 29 | 30 | — |
| 15 | 17 | 10 | 30 | 33 | 24 |
| 16 | 16 | 13 | 31 | 34 | 23 |

| K. | Stoll. | Duebn. |
|---|---|---|
| 32 | 38 | 111 |
| 33 | 39 | 28 |
| 34 | 37 | 19 |
| 35 | 42 | 42 |
| 36 | 40 | 32 |
| 37 | 35 | 25 |
| 38 | 36 | 112 |
| 39 | 11 | 29 |
| 40 | 31 | 31 |
| 41 | 32 | — |
| 42 | 15 | 43 |
| 43 | 41 | 36 |
| 44 | 43 | 37 |
| 45 | 44 | 71 |
| 46 | 45 | 35 |
| 47 | 46 | 34 |
| 48 | 48 | 34 |
| 49 | 49 | 34 |
| 50 | 47 | 105 |
| 51 | 112 | 39 |
| 52 | 114 | 38 |
| 53 | 79 | 41 |
| 54 | 80 | 40 |
| 55 | 56 | — |
| 56 | 52 | 69 |
| 57 | 70 | 62 |
| 58 | 71 | 63 |
| 59 | 72 | 65 |
| 60 | 73 | — |
| 61 | 103 | 68 |
| 62 | 74 | 66 |
| 63 | 75 | 77 |
| 64 | 76 | 78 |
| 65 | 78 | 70 |
| 66 | 110 | 74 |
| 67 | 50 | 72 |
| 68 | 81 | 76 |
| 69 | 83 | 67 |
| 70 | 84 | 107 |
| 71 | 53 | 75 |
| 72 | 108 | 92 |
| 73 | 51 | 81 |
| 74 | 97 | 83 |
| 75 | 104 | 88 |
| 76 | 105 | 85 |
| 77 | 101 | 82 |
| 78 | 86 | 86 |
| 79 | 102 | 89 |
| 80 | 108 | 92 |
| 81 | 88 | 96 |
| 82 | 109 | 93 |
| 83 | 89 | 98 |
| 84 | 90 | 99 |
| 85 | 13 | 106 |
| 86 | 91 | 100 |
| 87 | 92 | 101 |
| 88 | 93 | 102 |
| 89 | — | — |
| 90 | 96 | 90 |
| 91 | p. 73 | 97 |
| 92 | 98 | 110 |
| 93 | 113 | — |
| 94 | 82 | 95 |
| 95 | 87 | 87 |
| 96 | 94 | 103 |
| 97 | 111 | 94 |
| 98 | 115 | 91 |
| 99 | 95 | 104 |
| 100 | 85 | 108 |
| 101, 102 | 106 | 79 |
| 103 | 117 | 114 |
| 104 | 99 | 61 |
| 105 | 100 | 109 |
| 106 | 107 | 80 |
| 107 | 124 | — |
| 108 | p. 73 | — |
| 109 | — | — |
| 110 | — | — |

BIBLIOTHECA BODLEIANA